ποτὲ γλῶσσαν ὀφιώδη καὶ πονηρὰν ἢ πρὸς τὸν μητροπολίτην κατὰ τῆς ἐξουσίας κινῆσαι ἢ κατὰ τοῦ ἀρχιερέως πρὸς τὴν εὐτυχεστάτην ὑπεροχήν. ἄριστον τοῦτο τῶν ἀμφοτέρων σκέμμα καὶ σύνθεμα, ἀλλὰ καὶ τῶν λοιδόρων 10 *καὶ τῶν ψιθυριστῶν ἀποβουκόλησις καὶ ἀποτροπὴ καὶ πρὸς τὸ δέον πάντως μετάθεσις. καὶ τὰ μὲν περὶ τούτων, ἐν τούτοις. προσέθετο μέντοι ὁ ἀρχιερεύς, ὡς τὰ μὲν εἰς αὐτὸν ἥκοντα παρὰ τῆς κατὰ Ναύπακτον ἐξουσίας, βαρέα δηλονότι καὶ φορτικά, μακροθύμως ὑποίσει, ἐθισθὲν αὐτῷ κακῶς παρ' αὐτῆς ἀκούειν καὶ ὑπομένειν τὰ λυπηρά· ὅσα δὲ εἰς περιφρό-* 15 *νησιν ἀφορᾷ τῶν τῆς ἐκκλησίας θείων δικαίων καὶ ὑπόσπασιν τούτων, ἔτι δὲ καὶ τῶν τῆς ἐκκλησίας δικαιωμάτων παράβασιν, οὐκ ἂν κατὰ νῶτον, εἶπε, θεῖναι ποτέ, ἵνα μὴ τὸ θεῖον ἐντεῦθεν κατάκριμα ἐπισπάσηται, ἀλλὰ παρακαλέσειν μὲν τὴν ἐξουσίαν, τῶν ἐπὶ τούτοις νομίμων ἴσως ὑπ' αὐτῆς πατουμένων, καὶ ἄλλως ὡς ἂν αὐτῷ πρὸς δυνάμεως εἴη καὶ τῶν κανονικῶν* 20 *διατάξεων καὶ τῆς τῶν ἐκκλησιαστικῶν δικαιωμάτων ἀντιλήψεσθαι περιλήψεως. λαβούσης δὲ τῆς ἀψιμαχίας εἰς ἀφορμὴν καὶ ἄλλην τινὰ αἰτίαν, καὶ ταύτην ὁ μητροπολίτης λῦσαι κατέθετο, καὶ ἐμφανίσαι ὑπέσχετο τῷ ποιησαμένῳ τὴν τῶν δημοσίων δικαίων ἀπογραφὴν κατὰ Ναύπακτον τὰ προσόντα δικαιώματα τῇ κατ' αὐτὸν ἐκκλησίᾳ τέως ἐπὶ τῇ περιμέτρῳ τῆς γῆς καὶ φανῆναι* 25 *ἐκ τούτων τίνα τε τῇ ἐκκλησίᾳ ἐκ τοῦ ἀναμφιλόγου προσήρμοσε καὶ τίνα τὰ ὑπὲρ μνημοσύνων τινῶν ἀφιερωθέντα αὐτῇ καὶ ἀνέκαθεν παρὰ ταύτης νεμόμενά τε καὶ καρπιζόμενα. ἐν τούτοις τῶν μερῶν διαλυσαμένων, ἡμεῖς ἐπετράπημεν παρὰ τοῦ κατὰ χώραν ἀρχιερέως σημειώσασθαι ταῦτα καὶ ἐπιδοῦναι τοῖς μέρεσι.* 30

3

Bl. 10b *Σημείωμα γεγονὸς ἐπὶ τῇ μέσον τοῦ πρωτοκεντάρχου καὶ τοῦ γαμβροῦ αὐτοῦ ὑποθέσει + +*

Σοφῶς οἱ νομοθέται ὡρίσαντο τὸν συναπτόμενον γυναικὶ καὶ προῖκα δεχόμενον μὴ δαπανητήν, ἀλλὰ φύλακα εἶναι τῶν προικῴων τῆς γυναικός, πρόνοιαν πάντως τῶν τεχθησομένων παίδων ποιούμενοι, ὡς ἔχοιεν τὰ προικῷα 5 *εἰς κληρονομίαν, εἰς μερισμόν· καὶ ἔοικεν ὁ ἀνὴρ παραθηκαρίῳ, φυλακίτῃ καὶ ἐπιμελητῇ ὧν εἰς προῖκα παρέλαβε. κατὰ τὸν αὐτὸν λόγον καὶ ὁ πανσέβαστος πρωτοκένταρχος κῦρ Ἰωάννης ὁ Κασταμονίτης, θυγατέρα τεκών, ὄνομα Ἄννα, καὶ τοῦ νομίμου γενομένου καιροῦ, συνῆψε ταύτην ἀνδρί, τῷ μεγαλοδοξοτάτῳ κῦρ Ἀλεξίῳ τῷ Πυῤῥῷ καὶ προῖκα ταύτῃ* 10 *ῥητὴν κατεγράψατο καὶ πρὸς τοῦ γαμβροῦ ἀπόδειξιν, ὡς ἔλεγεν, ἔλαβε, δηλοῦσαν τὴν ὅλην ταύτης ἀπόδοσιν. ἀλλ' ἡ παῖς ἀπεβίω, πάνυ ὀλίγον συμβιώσασα τῷ ἀνδρί, καὶ πένθος μὲν κατέλιπε τοῖς γεννήτορσι, πένθους δὲ καὶ νόμου κειμένων, προήχθη ἐν τῷ πένθει ὁ προικοδοτήσας πατὴρ νομίμως ἀπαιτῆσαι τὴν ἀντιστροφὴν τῆς προικός, παράλογον ἡγησάμενος πεν-* 15

3 [13] *πένθος*

θεῖν ἐν ταὐτῷ θυγατέρα καλὴν καὶ ὑπομεμενηκέναι ζημίαν. προήχθη δὲ εἰς τὸ ἐφ' ἡμῶν καὶ τῶν ἄνωθεν συνεδριαζόντων τὴν προῖκα ζητεῖν καὶ κατὰ νομικὴν μέν, ὡς εἴπομεν, παρατήρησιν, ἀλλὰ καὶ ἐκ τοῦ ῥηθησομένου συμπτώματος: ἡ μεγαλοδοξοτάτη ἐκείνη κυρὰ Ἑλένη ἡ Μελισσηνὴ
20 συνῴκει ἀνδρὶ τῷ πανσεβάστῳ κῦρ Ἰσαακίῳ τῷ Ταρωνᾷ καὶ νοσήσασα τὰ εἰς θάνατον ἀπεθρίξατο καὶ ἀπεβίω ἐν διαθήκῃ, ἐν ᾗ ἄλλα τε πολλὰ κατεγράψατο καὶ τὴν καθ' ἡμᾶς ἁγιωτάτην μητρόπολιν δεσπότιν ἀπεντεῦθεν καὶ κυρίαν ἐποίησε τῶν κατὰ Ναύπακτον πάντων προικῴων αὐτῆς. καὶ παρῆν ἡμέρα, καθ' ἣν τῷ Ἀνατολικῷ παραβαλόντες ἡμεῖς συναίνεσιν
25 ἐζητοῦμεν τῶν δύο μεγαλοδοξοτάτων αὐταδέλφων τῆς θανούσης Μελισσηνῆς, τοῦ τε κῦρ Λέοντος καὶ τοῦ κυροῦ Ἀλεξίου τῶν τὸ ἐπίκλην Πυῤῥῶν, ἐφ' οἷς ἐκείνη τῇ ἐκκλησίᾳ κατέλιπε, καὶ οὗτοι ἐποίουν. καὶ παρ' αὐτοὺς γενόμενος ἔνδημος ὁ πρωτοκένταρχος ἐδυσχαίρενε μὲν ἐφ' οἷς ἐκεῖνοι δι' ἐγγράφου οἰκείου τῇ διαθήκῃ ἐβοήθουν τῆς ἀδελφῆς. «πῶς γάρ, ἔλεγε,
30 δίκαιον εἶναι τὰ ἐμοὶ ἐνεχυρασθέντα εἰς ἱκάνωσιν τῶν προικῴων τῆς θυγατρός μου διὰ τὸ ἄδηλον τῆς ἐκβάσεως τοῦ μεταξὺ ἐμοῦ καὶ τοῦ Πυῤῥοῦ συναλλάγματος νῦν τῇ μητροπόλει καταλειφθῆναι; πρὸ τοῦ λαβεῖν ἐμὲ τὴν προῖκα τῆς θυγατρός μου, καίτοι ὡς ἔχω εἰκάζειν πολλῶν ἐκ ταύτης δαπανηθέντων καὶ τοῦ γαμβροῦ μου μὴ ἔχοντος κατὰ τὴν οἰκείαν ἀπόδειξιν
35 ὅσα παρέλαβεν ἀντιστρέψαι μοι;» καὶ παρεδέχθη τῷ συνεδρίῳ δίκαια φάμενος· ἀλλ' οἱ αὐτάδελφοι, ὅ τε κῦρ Λέων καὶ ὁ κῦρ Ἀλέξιος, πρὸς οὓς ἡ δεσποτεία συμπάντων κατήχθη τῶν προικῴων τῆς ἀδελφῆς, ὡς θανούσης ἐν ἀπαιδίᾳ, ἀναλῦσαι μὲν τὰ ἐπὶ τῇ μητροπόλει γεγονότα παρὰ τῆς ἀδελφῆς καὶ αὐτῶν βαρὺ καὶ δύσφορον ἐλογίζοντο

[Die Fortsetzung nicht vorhanden.]

4

[Der Eingang fehlt.]

κότες παρατηρήσεις, ὅσας οἱ παλαιοὶ νομοθέται καὶ οἱ μετ' αὐτοὺς — Bl. 11 a
βασιλεῖς νεαρὰς νομοθεσίας ἐξέθεντο ἐπί τε συναλλάγμασι γαμικοῖς, ἐπί τε προιξίν, ἐπί τε καταμερισμῷ τῆς οἰκείας πάσης ὑπάρξεως πρὸς τοὺς ἐξ αὐτῶν γεννηθέντας ἢ ζῶντες ἢ καὶ πρὸς τὴν τοῦ βίου δύσιν ἐρχόμενοι.
5 κἀντεῦθεν τοῦ διατεταγμένου νομίμου ἐπὶ τοῖς τοιούτοις ἐκπίπτοντες, πολλὰς τὰς ἀμφισβητήσεις τοῖς ἐξ ἐκείνων καταλελοίπασι, καὶ συγγνώμης ἀπὸ τῶν νόμων οἱ πατέρες ἔτυχον οὐδαμοῦ, κατὰ νομικὴν ἑτέραν ἐκφώνησιν, ἥτις νέμει συγγνώμην τοῖς φάκτον ἀγνοήσασι νόμιμον, τοῖς νόμον δὲ οὐδαμοῦ, καθότι μηδὲ ἐξεῖναι φησὶν ἡ διάταξις ἄνδρα Ῥωμαῖον ἀγνοεῖν νόμον.
10 ταύτην τὴν ἄγνοιαν ἔπαθε καὶ ὁ ἐξ Ἰωαννίνων Στέφανος ἐκεῖνος ὁ Μαρδαρόπουλος, ὅς, γυναῖκα γήμας ἐννόμως, παῖδας ἐκ ταύτης θηλείας ἀπεγέννησε τρεῖς καὶ τελευτῶν οὐ κατέλιπε ταύτας κληρονόμους ἰσομοίρους τῶν

προσόντων αὐτῷ, καθὰ τοῖς νόμοις καὶ τῷ δικαίῳ δοκεῖ, ἀλλὰ τὴν αὐτοῦ γαμετὴν οἰκονόμον τῶν θυγατέρων ἀφῆκε καὶ τῷ ταύτης θελήματι τὰ κατὰ τὰς θυγατέρας ἀνέθετο, ἴσως ἐπὶ σκοπῷ τοῦ παρὰ ταύτης ταύτας 15 *ἐπιτροπεύεσθαι καὶ νομίμοις συναφθῆναι ἀνδράσι καὶ τὰ πατρῷα πράγματα ἐπίσης νεμηθῆναι αὐταῖς. ἡ δὲ μήτηρ, τέως πρὸ τῶν θυγατέρων φροντίσασα ἑαυτῆς, εἰς δεύτερον ἀπέκλινε συνοικέσιον καὶ τῆς ἐπιτροπῆς ἐντεῦθεν ἐκπέπτωκεν· ὅμως τὰς δύο τῶν θυγατέρων ἀνδράσι συνέζευξεν, ὕστερον δέ ποτε καὶ τὴν ὑστέραν, Καλὴ δὲ ταύτης τὸ ὄνομα, εἰς γάμον* 20 *τῷ πριμμικηρίῳ τῶν ἐν Ἰωαννίνοις βαράγγων, τῷ κῦρ Θεοδώρῳ, ἐξέδοτο. τὴν οὐσίαν μέντοι καὶ ἑαυτῆς καὶ τὴν τοῦ πατρὸς οὐ κατὰ τὴν τοῦ δικαίου ἰσότητα ταῖς θυγατράσιν ἐπεμερίσατο, ἀλλὰ τῇ μὲν πρώτῃ καὶ δευτέρᾳ τὰ δοκοῦντα ταύτῃ προικοδοτήσασα, τῇ καθ' ἡλικίαν τρίτῃ Καλῇ βραχέα ἄττα ἐκληροδότησε καὶ φιλονεικίαν ἐντεῦθεν καὶ δικαστηρίων ἀναψηλάφησιν* 25 *μέσον τῶν τριῶν συγγάμβρων ἐνέσπειρεν. ἀμέλει καὶ προσελθὼν ἡμῖν τὴν σήμερον ὁ τῆς τρίτης ἀνὴρ πριμμικήριος ἐρώτησιν προετείνατο, εἰ δίκαιόν ἐστι καὶ τοῖς περὶ τούτων νόμοις ἀκόλουθον, ἐπίσης τοὺς συγγάμβρους τὰς πενθερικὰς οὐσίας καταμερίσασθαι ἢ παρὰ μὲν τοῖς πρὸ αὐτοῦ γεγαμηκόσι μένειν ἀκολόβωτα τὰ προικοδοτήματα, αὐτὸν δὲ* 30 *μόνον τὴν ἀφ' ἱκανοῦ τῆς προικὸς ὑπομένειν κολόβωσιν καὶ στέργειν οὕτω τῷ γενομένῳ. καὶ ἀπεκρινάμεθα καὶ ἀπεφηνάμεθα, ὡς ἐπίσης ὀφείλουσιν οἱ τρεῖς γαμβροὶ τὰς πενθερικὰς οὐσίας καταμερίσασθαι, ἀκινήτους οὔσας δηλαδὴ καὶ αὐτοκινήτους καὶ τὰς ὅσαι ἀπὸ τῶν κοινῶν περισῴζονται, τοῦ μερισμοῦ δηλαδὴ ἐσομένου τούτοις ἀπὸ τοῦ σήμερον, ἵνα μὴ τὴν παρὰ* 35 *τῶν συγγάμβρων αὐτοῦ προκατοχὴν καὶ προκάρπισιν ὁ πριμμικήριος εἰς μέσον προθέμενος καὶ ἀναποδίζων ἐπὶ τὰς ὀπίσω τῶν αὐτοκινήτων προσόδους καὶ ζητῶν τὸ ἐπιβάλλον καὶ ἀπ' αὐτῶν, ὄχλον μέγαν εἰσαγάγῃ ἑαυτοῦ τε μέσον καὶ τῶν συγγάμβρων αὐτοῦ καὶ δίκην εἰσενέγκῃ, δυσκόλως λύσιν λαμβάνουσαν, ἀκούσει δέ, ὡς σήμερον τὸ φάκτον τοῦτο κινῶν καὶ σήμερον* 40 *τὴν ἰσομοιρίαν λήψεται τῆς προικός. ταῦτα διαγνόντες ἀπεφηνάμεθα καὶ σημειώματι, κατὰ συγχώρησιν τοῦ ἐγχωρίου ἀρχιερέως, τὰ ἐρωτηθέντα καὶ διαγνωσθέντα περιελάβομεν, τοῖς περὶ τούτων νόμοις ἀκολουθήσαντες, ἐπίσης ἔκ τινων τὰς πατρικὰς οὐσίας καταμερίζουσιν, ἡνίκα δηλονότι μὴ φθάσουσιν οἱ τεκόντες ὡς τούτοις δοκεῖ τοῖς ἰδίοις παισὶ τὰ ἑαυτῶν* 45 *διανείμασθαι. μηνὶ +*

5

Bl. 15 a *Σημείωμα τοῦ αὐτοῦ· μηνὸς ὀκτωβρίου ιε' ἰνδικτιῶνος ι'· ἐπὶ παρουσίᾳ τοῦ δεῖνος καὶ τοῦ δεῖνος. +*

Ἡ τοῦ σώματος ἡμῶν πληθώρα καὶ τὸ πολλαῖς παρενοχλεῖσθαι ταῖς νόσοις τὸ μοχθηρὸν σαρκίον τοῦτο καὶ δεσμωτήριον, ᾧ περικείμεθα, ὑφ' ὧν καὶ εἰς

4 [36] Anfänglich schrieb der Schreiber *προκάρποσϊν*, was er dann selber korrigierte wie oben — [40] *φάκτον* zum Teil unsicher.

5 ἀνάγκην πολλάκις ἤλθομεν τοῦ θεοκλυτεῖν, ὡς ἐκ φυλακῆς τοῦ σώματος τούτου τὴν ἡμετέραν ψυχὴν ἐξαγαγεῖν τὸν θεόν, ἠνάγκασαν ἡμᾶς Βόνδιτζαν ἰδεῖν καὶ τῷ ταύτης ἐπισκόπῳ περιτυχεῖν, ἵν' ὥσπερ ἰατρὸς κατέστη ψυχῶν τῇ ἐπικλήσει τοῦ πνεύματος, οὕτω δὴ καὶ σωμάτων ἔσται θεραπευτής· ἡ γὰρ φιλάνθρωπος τέχνη τούτῳ τὸ ἐπιτήδευμα. καὶ δή που τὴν
10 χθὲς μετὰ τὴν θείαν δοξολογίαν περὶ τὸ τοῦ ναοῦ προπύλαιον ἄμφω ποιησάμενοι βάδον καὶ τοῖς ἐκ μαρμάρων ἐκεῖσε βάθροις τὰ ἰσχύα κάμψαντες ἐκαθήμεθα καὶ περὶ νόσων καὶ τῶν ἐκτὸς ὀχληρῶν καὶ ὡς ἕκαστος ὃ βούλοιτο πράττει κακὸν κατὰ τὸν ἐνεστῶτα καιρὸν ἐκοινολογούμεθα. καὶ ὡς τὴν περὶ τούτων ὁμιλίαν εἶχεν ἡ γλῶσσα, ἀνήρ τις, γηραιὸς ἤδη,
15 ὄνομα Συμεών, ἐπωνυμίαν Σγουρόπουλος, καταδέσμῳ μὲν περιειλημμένος τὴν κεφαλήν, κρήδεμνον γυναικεῖον ἔχων περὶ τὸν τράχηλον, δι' οὗ τὴν εὐώνυμον ἀνεκούφιζε χεῖρα, μωλωπισθεῖσαν ἐκ ῥάβδου, ὡς τὰ ἑξῆς δηλώσει τῆς διηγήσεως, δεινοπαθῶν ἡμῖν παρέστη ἐνώπιος, οὐ κατὰ πρόγνωσιν μέν, ἐκ τύχης καὶ ὅμως τήν τε παράστασιν ποιησάμενος καὶ τὴν περὶ
20 τοῦ, ὡς ἕκαστον ἔχειν ἄδειαν τοῦ κακοπραγεῖν, ὁμιλίαν ἡμῖν οἷς ἐξηγήσατο πιστωσάμενος. ἔφησε γάρ, ὡς Αὐριλιόνης τις, Ῥωμαίων ἄποικος, ὄνομα Κωνσταντῖνος, Βλάχους τοῦτο τὸ γένος ὁ καιρὸς ὠνόμασεν ἄνθρωπος, κατὰ χρόνον τὸν πέρισυ, Βλασίαν, τὴν αὐτοῦ θυγατέραν, παρθένον οὖσαν καὶ νέαν, ἀπερχομένην ὑδρεύσασθαι ἀπὸ τῆς ἔγγιστά που πηγῆς, κατασχὼν
25 καὶ περί τινα ῥαγάδα γῆς ἀγαγών, ἔνθα βοήθειαν ἔσεσθαί ποθεν τῇ Βλασίᾳ ὁ Κωνσταντῖνος οὐκ ᾤετο, ἀλλ' οὐδὲ φωνούσης ἀκουσθῆναι ὑπό τινος, τὴν παρθενικὴν ἐκεῖσε πυλίδα τῆς Βλασίας ἀνέῳξε· ἐξ ἐκείνου δὲ ὡς αὐτῇ περιέτυχεν, ἐπάγων βίαν ἐμί || γνυτο, ἕως ποιήσας ἐγκύμονα Bl. 1 καὶ παῖδα ταύτης ἀπέτεκε. «τοῦτό μοι πρῶτον, ἔφησεν ὁ Σγουρόπουλος,
30 πρὸς τοῦ Αὐριλιόνου ἀδίκημα, χθές που δὲ καὶ πρὸ τρίτης, ἐγκοτῶν μοι τῆς θυγατρὸς ὑπερμαχομένῳ ἢ ἄνθρωπόν με ὑπολαβὼν ἀβοήθητον, καθότι καὶ ταπεινός, μεθ' ὁμογενοῦς λαοῦ ἐπελθὼν περὶ τὸν μέσον δρόμον τῆς αὐτίκα νυκτός, ὑπελεύκαινε δὲ σελήνη τὴν νύκτα ἐκείνην, καὶ τὸ πλῆθος εἰκάζειν ἦν ἐς τριάκοντα, ἐμέ τε καὶ Νικόλαον, τὸν ἐφ' ἑτέρᾳ
35 θυγατρί μου γαμβρόν, ἀπανθρώπως ῥάβδοις ᾐκίσαντο. καὶ ὁ μὲν Νικόλαος, φησί, κατάπληγος ὑπ' αὐτῶν γεγονώς, ἐπὶ κλίνης κεῖται καὶ δεμνίων καὶ ὡσανεὶ θανατᾷ· ἐγὼ δὲ ὡς ὁρᾶτε.» καὶ δυςπαθῶς οὕτως εἶπεν, καὶ τὸν δεσμὸν τῆς κεφαλῆς καθ' ἡμετέραν νεῦσιν περιελόμενος ὡράθη ἔχων πληγὴν ἀπὸ ῥάβδου, περὶ τὸ ἄκρον τῆς εὐωνύμου ὀφρύος, ὑφ' ἧς μελανώματά τε καὶ
40 ὄγκος αἱματόεις ἐνεφαίνετο τούτῳ κατὰ τὸ τοῦ ὀφθαλμοῦ βλέφαρον. καὶ τὸ τραῦμα εἰκάζειν ἐδίδου, ὡς αὐτίκα ἀπεβίῳ, εἴ γε μικρόν τι περὶ

5 [12] ʽsἕως — [22] Βλάχους die Endung des Wortes abgekürzt, schwer leserlich — [30] ἀυριἰλϊόνου ἀδίκημα. Die Buchstaben δῖκημα sind durch eine spätere Hand auf einer Rasur geschrieben — [34] ἐφέτρ'

τὸν κρόταφον ἄνωθεν ἡ τῆς ῥάβδου τούτῳ ἐπηνέχθη καταφορά. ὁ πῆχυς δὲ τῆς περὶ τὸ μέρος τοῦτο χειρός, ὅνπερ ἀνέπαυε τὸ ἀπὸ τοῦ τραχήλου τοῦ Σγουροπούλου ἐπικρεμάμενον ὀθονίδιον, ἀλλὰ καὶ αὐτῷ ῥάβδου πληγὴν βαρεῖαν ἐπήνεγκε· μαλλός τε γὰρ αὐτὸν δασὺς περιείλισσε καὶ 45 *λινοῦς τὸν μαλλὸν συνεῖχε δεσμὸς καὶ τὸ κατοδυνᾶσθαι τῷ Σγουροπούλῳ τὸν πῆχυν οὐκ ἐδίδου γυμνῇ τῇ σαρκὶ τὸν τραυματισμὸν καὶ καταθρῆσαι καὶ καταγράψασθαι. ἀπεγύμνου δὲ ὁ ῥηθεὶς καὶ ὦμον τὸν δεξιόν. καὶ ἦν αὐτῷ περὶ τὸ ἄκρον τῆς πλάτης μελάνωμα βαφὲν κατὰ βάθος τῇ τῆς πληγῆς ἰσχυρότητι· τυπεῖσα γὰρ τῇ ῥάβδῳ ἡ σὰρξ τῆς φυσικῆς συνεχείας* 50 *πάντως παρεσαλεύθη καὶ τὰ περὶ τὸ τραῦμα μόρια τῆς πρὸς ἄλληλα διακριθέντα συμφυΐας καὶ νεκρωθέντα ὥσπερ διὰ τὴν ἀπὸ τῆς οἰκείας θέσεως ἔκτασιν τῷ πληγέντι τόπῳ ἐνεποίησαν τὸ μελάνωμα. ταῦτα ἐθεάθην ἡμῖν· καὶ περιωδύνως μὲν διετέθημεν ἄμφω· τὸ πλέον δὲ ὁ ἐπίσκοπος, τὸ γὰρ οἰκεῖον πιέζει πᾶν, ὡς τῷ λυρικῷ Πινδάρῳ δοκεῖ, καὶ μίαν ταύτην παρά-* 55 *κλησιν τῷ καταπλήγῳ δέδωκε Σγουροπούλῳ, τὴν πρὸς τὸν πανευκλεέστατον πρωτοβιστιάριον καὶ πανοικειότατον τῷ κραταιῷ Κομνηνῷ παράστασιν καὶ ἐμφάνειαν καὶ τὴν τῶν ἐπ' αὐτῷ πραχθέντων ἐξήγησιν. κατὰ παράκλησιν δὲ τῆς αὐτοῦ ἱερότητος ἡ ταπεινότης ἡμῶν τὰ ἀκουσθέντα καὶ ὁραθέντα τῷ παρόντι χάρτῃ διέλαβε· καὶ πιστωσαμένη τοῦτον ἐκδέδωκε μηνὶ* 60 *καὶ ἰνδικτιῶνι τοῖς προγεγραμμένοις.*

6

Bl. 16 a

Σιγίλλιον ἡγουμενείας.

Ἀποβραβεύουσι μὲν τοῖς ἐπισκόποις οἱ θεῖοι κανόνες καὶ τὴν τῶν μοναχῶν ἀνάκρισιν καὶ διόρθωσιν καὶ τὴν εἰς ἡγουμενείας τούτων προχείρισιν καὶ τὴν τῶν ἱερῶν μονῶν ἐπισκοπὴν καὶ κυβέρνησιν, οἰκονόμους δὲ ἐν μοναῖς τοὺς αὐτούς που διατάσσονται καθιστᾶν, καὶ οὐδέν ἐστιν ὃ θείου 5 *δικαίου τυγχάνον, μὴ τοῖς ἐπισκόποις ἀνατιθέασιν. εἰ δέ ποτε περιφορὰ καιροῦ καὶ περίστασις ταχεῖαν οὕτω καὶ σύντομον ἀπαιτεῖ μονῆς τινος καὶ διεξαγωγὴν καὶ κυβέρνησιν, ὡς, εἰ μὴ εὐθὺς καὶ αὐτίκα προβῇ, εἰς παντελὲς παραπολέσθαι τὸ φροντιστήριον, μακρότης δὲ τοπικὴ ἢ ἄλλο τυχὸν πραγματικὸν ἐμπόδιον κωλύσουσι τὸν ἐπίσκοπον ἐπιταχύναι τῷ* 10 *πράγματι, λαϊκὸς δέ τις καὶ μᾶλλον ἀρχὴν διέπων, κέρδους μὲν καὶ λημμάτων ἀνώτερος, εὐλαβείας δὲ καὶ τρόπου χρηστοτέρου μεταποιούμενος, ἐπιβλέπων ἐπιβλέψει ἐπὶ τὴν τοιαύτην μονὴν καὶ τὴν παρουσίαν τοῦ ἐπισκόπου ἀμέμπτῳ οἰκονομίᾳ προλάβῃ, οὐκ ἔγωγε οἶμαι παρ' ἐπισκόποις εὐγνώμοσι μεμπτέον τοῦτο κριθήσεσθαι, μέντοι καὶ προσεπαινεθήσεται* 15 *τῆς ταχινῆς καὶ ἀδόλου ἐπὶ τῇ μονῇ ἀντιλήψεως. καὶ ὡς τὸ τοῦ λόγου*

5 [57] *αβϊςι*$^{\acute{\alpha}\varrho'}$ [59] *ὁραθ(έν)τ*^{a} Nach einer Korrektur statt der anfänglichen Schrift *ὁρωθ(έν)τ*^{a}

πρόσωπον τοῖς ἐφεξῆς διαφωτισθῇ, γέγονεν ὑπὸ τὸν Ζικχίαν ἐκεῖνον κῦρ Θεοδόσιον, καὶ οὐ λέγω εἰ καὶ καλῶς, ἡ κατὰ τὴν ἐπίσκεψιν Ἀχελώου μονὴ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου, ᾗτινι κλῆσιν ἐξ ἑαυτοῦ ὁ πρώτως ταύτην
20 δομησάμενος ἐχαρίσατο, ἔρωτι τῷ θείῳ γενόμενος ἐκκρεμὴς καὶ ἀκολούθως τῷ τρόπῳ ἐν ἀποκρήμνῳ τῇ πέτρᾳ ἐπικρεμάσας τὸ δόμημα καὶ παρανομάσας οὕτω τοῦ Κρεμαστοῦ. ἡ ἐφορία δὲ τοῦ ἀνδρὸς ἐκείνου καὶ τὴν πρώην ἐπὶ τοῖς πράγμασι τηλαύγειαν τῆς μονῆς ἠμαύρωσε καὶ ἐσκότωσε καὶ τὰ κρείττω ταύτης καὶ συντηρητικὰ κατήγαγεν εἰς ἐλάττωσιν εἴτε διὰ τὸ
25 περὶ γηπονίας ἐκείνου ἀνεπιστῆμον, ἥτις τὰ παρ' ἡμῖν φροντιστήρια καὶ αὔξει καὶ συντηρεῖ, εἴτε τοῦ ἐγγενομένου || τῷ ἀνδρὶ πολυημέρου νοσήματος ἐξ ἑκτικῆς διαθέσεως, ὑφ' οὗ ἐτε[θνή]κει, μὴ τῆς ἐπιμελείας γίνεσθαι τῆς μονῆς, μὴ τῆς βελτιώσεως ἀναγκάζοντος, τὰ οἰκεῖα δὲ τημελεῖν καὶ τὴν παθητικὴν διάθεσιν ταύτην νοσοκομεῖν ἀναπείθοντος· καθότι **Bl. 1**
30 καὶ παρὰ πᾶσιν τὸ οἰκεῖον ἑκάστου κακὸν πιεστικόν τι μᾶλλον ἐστὶ καὶ προτιμότερον εἰς φροντίδα τοῦ ἀλλοτρίου καλοῦ. ἀλλ' ἀπεβίω, ἀλλὰ μετέστη, ἀλλὰ τὴν ἐξ ἡμῶν ἐπορεύσατο καὶ ἔμεινεν ἡ μονὴ ἐπιπροσθήκη τῆς ἀμελείας· οὔτε γὰρ νεώματα γέγοναν ἐν τῷ προσφόρῳ καιρῷ καὶ βοῦς ὑπὸ ζυγὸν οὐκ ἤχθη ἕως μεσοῦντος καὶ δεκεμβρίου, οὐκ ἀνετμήθη αὖλαξ,
35 σπόρος οὐ κατεβλήθη, καὶ κίνδυνος ἦν πάντα τὰ τῆς μονῆς ἐν τῷ ἐπερχομένῳ καιρῷ τοὺς ὀλιγοστοὺς μοναχοὺς καὶ ἀποδόσθαι καὶ ἀποζήσεσθαι. ἀλλ' ὁ μεγαλυπέροχος δοὺξ τῆς ἐπισκέψεως Ἀχελώου κῦρ Νικόλαος ὁ Γοριανίτης, τοῦτον γὰρ ὁ λόγος ἐσκιαγράφησεν ἄνωθεν, ἐγγύς που τυχὼν καὶ τὴν τοῦ Ζικχίου ἐνωτισάμενος ἀποβίωσιν, διὰ καλοκαγαθίαν ψυχῆς
40 εὐθὺς ἀνέδραμεν πρὸς τὸ μοναστήριον αὐτό τε τοῦτο καὶ ὡς ἔστι καὶ τούτῳ μετὸν δημόσιον ἐπὶ τῇ μονῇ διὰ τοὺς ἐκεῖθεν φόρους καὶ τὸ ἐτήσιον ὄφλημα· καὶ ὡς εὗρε τὰ πάντα τοῦ διεξάγοντος ἔρημα καὶ τὸ μοναστήριον καταβάν, οὐκέτι μὲν ἐξ Ἱερουσαλὴμ εἰς Ἱεριχώ, τῆς δὲ πρὸ τοῦ εὐκληρίας εἰς τὴν ἐναντίαν πτῶσιν τε καὶ ταπείνωσιν καὶ θανατῶν ὡσανεί, ἅτε δὴ
45 καὶ τραυματισθὲν ὁπόσα πληγαῖς, ταῖς πολυτρόποις ἀμελείαις τοῦ προκατέχοντος, οὐκ ἀνέμεινεν οὗτος ἱερέα θεραπευτήν, ἀλλ' οὐδὲ τὸν μετὰ τοῦτον Λευΐτην, ἄλλον δή τινα τῶν τῆς ἐκκλησίας πνευματικῆς ἰατρικῆς ἐπιστήμονα, τὸν δὲ παρ' εὐαγγελίοις μιμησάμενος Σαμαρείτην καὶ τὴν ἐπισκοπικὴν προλαβὼν θεραπευτικὴν τό τε φάρμακον ἐπάσσατο ἀκεσώδυνον καὶ τὴν
50 συνουλωτικὴν ἐπέθηκεν ἔμπλαστρον. ἀκηκοὼς γάρ ποθεν, ὡς ἔστιν ἀνήρ, ἐσταλμένος μὲν κατὰ μοναχοὺς καὶ τὸ περὶ τὴν ὀσφῦν ἀναβράζον ἐπιπωματίζων τῇ σωφροσύνῃ καὶ καταστέλλων οὕτω τὸ ἄναμμα, πράγματά τε διοικονομήσασθαι δεξιὸς καὶ γηπονικὸς ἐς τὰ μάλιστα καὶ συνόλως εἰπεῖν ἐπιστημονικὸς ὀμματῶσαι δι' ἐπιμέλειαν πρᾶγμα τυφλὸν δι' ἀμέλειαν,
55 μετεκαλέσατό τε τοῦτον εὐθὺς καὶ τὴν τοῦ μοναστηρίου ἐπίσκεψιν ἀνεφώνησεν, οὐκ ἀτιμάσας ἱερωσύνην, οὐ παρατρώσας κανόνας, οὐ παρωσάμενος νόμους, ἀλλ' ὅσον ἐνδείξασθαι τὸ τῆς ὑπ' αὐτοῦ ἐξουσίαν μάνδρας

6 [27] [ ] Loch im Papier — [41] τοῦτομετ''δήμοτ

ταύτης φροντιστικὸν καὶ τὸ οἰκεῖον φιλόθεον. τοῦτον οὖν τὸν ἱερομόναχον Τιμόθεον τὸν Πολύλογον, οὗτος γὰρ ὁ ἐπικριθείς, τοιοῦτον καὶ ἡμεῖς ἐπὶ πᾶσιν καταμαθόντες, ὁποῖα περὶ αὐτοῦ τῷ λόγῳ ἀναπεφώνηται, καὶ εἰς ἡγού- 60 *μενον, διὰ τῆς τοῦ παναγίου πνεύματος ἐπικλήσεως, τοῦ εὐαγοῦς σεμνείου τούτου προεβαλόμεθα, τῇ ἐπιλογῇ τοῦ μεγαλυπερόχου δουκὸς ἐπιθέντες διὰ τῆς ἱερᾶς σφραγῖδος βεβαίωσιν. ὅς ἡγούμενος καὶ παρ' ἡμῶν ἐξελέγη καὶ πρὸ σφραγῖδος κατὰ διάνοιαν, ὁπηνίκα πρώτως τὰς τῆς ἡμῶν εὐτε-λείας περιεκτύπησεν ἀκοὰς ἡ τοῦ Ζικχίου μετάστασις, ἐκ τῶν πραγμάτων* 65 *δὲ καὶ θαῤῥούντως λέγομεν γνωρισθήσεται, ὡς οὐκ ἀπηντήκαμεν παρὰ θήρας οἱ τὸν ἄνδρα τοῦτον εἰς ἡγουμενείαν ἐπιλεξάμενοι. ἔσται τοίνυν ὡς φίλον θεῷ καὶ τὰ καθ' ἑαυτὸν κυβερνῶν καὶ τὰ κατὰ τοὺς ὑπ' αὐτὸν μοναχούς, τῆς συστάσεως τοῦ θείου ναοῦ, τῆς λυχνοκαΐας αὐτοῦ, τῆς ἱερᾶς ψαλμῳδίας ἐπιμελούμενος, τὰ ὑπὸ τὴν μονὴν βοσκήματα, τοὺς* 70 *ἀμπελῶνας ἐπισκεπτόμενος, πάντα κατὰ θεὸν ἀνεπιψόγως οἰκονομούμενος, ἵνα καὶ θεὸν θεραπεύῃ καὶ μαρτυρίαν ἀγαθὴν καὶ τῶν ἔξωθεν ἔχῃ, κατὰ τὸ τοῦ Παύλου παράγγελμα.*

7

Bl. 21 b

+ *Σημείωμα διαζυγίου.* +

Αἰτίαι μέν, ἐξ ὧν τινα τῶν ἐννόμων συνοικεσίων ἐννόμως διαλύονται, τοῖς τῶν νόμων ἐνεγράφησαν κώδιξιν ἄριστα καὶ τελεώτατα ἔχουσαι· νοῦν γὰρ εἶχον οἱ καὶ ταύτας νομοθετήσαντες καὶ τὰς τῶν νομοθετημάτων τούτων μεμβράνας διαδοχὴν ὁμοῦ καὶ διδασκαλίαν τῷ βίῳ καταλελοίπασι. καὶ 5 *οἶδεν ὁ καὶ μικρὰ τοὺς νόμους μελέτημα θέμενος τὰς αἰτίας τῶν γαμικῶν ἑνώσεων καὶ τῶν λύσεων. αἰτία δέ, ἣν ἡμεῖς τῷ παρόντι καταγράφομεν ὑπομνήματι, δι' ἣν Κωνσταντῖνος τε καὶ Εἰρήνη, ἄμφω μὲν ἐν τῷ ὑπὸ τὴν καθ' ἡμᾶς ἁγιωτάτῃ ἐκκλησίᾳ χωρίῳ τῷ ἐπιλεγομένῳ Γοβλάστου, ὁ μὲν ἐγεννήθη, ἐτράφη δὲ ἡ Εἰρήνη, οἵτινες ἡρμόσθησαν μὲν ἀλλήλοις* 10 *ἐννόμως, διέστησαν δὲ οὐκ ἐννόμως, ἐκ μίσους δὲ μόνου τοῦ πρὸς τὸν ἄνδρα ἐκ τῆς Εἰρήνης, οὐμενοῦν παρὰ τοῖς τῶν νόμων βιβλίοις εὑρίσκεται ἐγκει-μένη, ἢ λαθομένων τῶν νομοθετῶν καὶ τοιαύτην αἰτίαν ἐπὶ συνοικεσίων λύσει ἐκθέσθαι ἢ εἴ τις ἐκείνους καὶ περὶ τοιαύτης αἰτίας ἠρώτησεν, οἶμαι, καλῶς ἂν ἀπελογήσαντο τὸ τοῦ Σόλωνος. ἡνίκα νόμους μὲν οὗτος ἐξετέθη* 15 *τοῖς Ἀθηναίοις καὶ ὅπως δὴ τὰ πρακτέα ἔσται Ἀθήνησι λεπτολογήσας ἕκαστα καὶ καταγραψάμενος ἀνεχώρησεν, ὀλίγους δὲ σταδίους τῆς πό-*

Bl. 22 a *λεως ἀποβάς, καί τινες αὐτὸν ἐπεφθάκεισαν εὔζωνοι || καὶ ὡς ἄν τι μέγα φρονήσαντες ἐπερώτησαν· «πολλὰς ἐπὶ πολλοῖς τοῖς πρακτέοις, ὦ πάτερ Σόλων, τὰς νομοθεσίας ἐκθέμενος, τοῦτο μόνον ἀφῆκας ἀνομοθέτητον·* 20 *εἰ πατέρα τύψει υἱός, τί τὸ ποιητέον ἔσται καὶ ἐπ' αὐτῷ ;» καταγελάσας δὲ τῶν ἐρωτησάντων ἀπελογήσατο, «ἀλλ' οὐδ' ἀνέβη μου τοιοῦτος λογισμὸς*

εἰς καρδίαν, ὡς υἱός ποτε ἐπάρῃ χεῖρα κατὰ πατρός». τάχα δ' ἂν οἱ κοινοὶ νομοθέται τοιαύτην ἀπεκρούσαντο τὴν ἀπολογίαν, εἴ τις καὶ περὶ μίσους
25 *γυναικὸς πρὸς τὸν ἄνδρα τούτους ἠρώτησεν, ὅπου γε καὶ κεφαλὴ μὲν γυναικὸς ἀνὴρ καὶ πρὸς αὐτὸν ἡ ταύτης ἀποστροφὴ καὶ τὸ κυριεύεσθαι αὐτὴν ὑπ' ἀνδρὸς κατὰ τὴν πρώτην τῶν ἀνθρώπων πλάσιν νενομοθέτηται, τὰ δὲ λοιπὰ τῆς ὑποταγῆς, μὴ καὶ ἀπειρόκαλον ἐς τὸ παρὸν καταγράφεσθαι. πᾶσα μὲν οὖν γυνὴ φιλίαν ὀφείλει τῷ ἀνδρὶ καὶ ὑποταγήν, μισῆσαι δὲ καὶ*
30 *ἄλλαι πάντως τοὺς ἑαυτῶν συζύγους προήχθησαν· πολλὰ γὰρ τοιαῦτα ὁ μακρὸς εἶδε χρόνος ἀπογεννᾶν, καὶ αἰτίας ἔσχον τὰ μίση ἢ κούφας ἢ βαρείας. ἐνταῦθα δὲ δωρεὰν ἡ Εἰρήνη τὸν Κωνσταντῖνον ἐμίσησε καὶ οὔτε πρὸς εὐνὴν αὐτῷ συγκοιτάζεται ἐκ τοῦ παρῳχηκότος ἤδη ἀπὸ τοῦ γάμου τούτων ἐνιαυτοῦ, ἀλλὰ καὶ ἄκουσμα καὶ συνάντημα τῇ Εἰρήνῃ ὁ*
35 *Κωνσταντῖνος ἀπευκταῖον λογίζεται. καὶ λῆρος μὲν αὐτῇ τὰ πρὸς τῶν γειτονούντων ὀνείδη, τῶν δὲ ἡμετέρων ἐπιτρόπων ἐν τῷ χωρίῳ τούτῳ αἱ ἀπειλαὶ ὤτων ἦχος ταύτῃ κενὸς καὶ σαφὴς ἐγένοντο περιφρόνησις. οὗτοι δὲ καὶ κέλλῃ πολλάκις τούτους ἐγκλείσαντες, ὡς ἂν καὶ μὴ θελούσῃ ταύτῃ συνέλθῃ ὁ Κωνσταντῖνος εἰς εὐνήν, ἡ δὲ τοὺς αὐτοῦ καταμασση-*
40 *σαμένη δακτύλους καὶ τὰ λοιπὰ τῶν χειρῶν τοῖς ὄνυξι καταξάνασα, ὡς καὶ τὰς ἀμυχὰς καὶ τὰς δήξεις ἀριδηλότατα καταφαίνεσθαι, αὐτοῦ μὲν ἀπέδρα, τὸν δὲ Κωνσταντῖνον ἀφῆκε, τοῦτο δὴ τὸ ποιητικόν, κεναῖς ἀφάσσειν ὠλέναισσι δέμνια. πλὴν οὖν πολλῆς ἱκετείας εἰς τὸν ἀπ' αὐτῆς διαχωρισμὸν ὁ Κωνσταντῖνος προυτείνατο, ναυάγιον ἑαυτῷ τὴν Εἰρήνην ταύτην γνω-*
45 *ρίσας, ἐμπόδιόν τε ἀμεριμνίας καὶ μάχην αὐθαίρετον καὶ τὰ λοιπὰ τοῦ σοφωτάτου Σεκούνδου, ὅσα νουνεχόντως ἐκεῖνος κατὰ γυναικῶν ἀπετόξευσε. καὶ ἀπεφηνάμεθα τὴν τῶν προσώπων τούτων διάστασιν, κατανοήσαντες ἀκριβῶς, ὡς εὐκολώτερον πῦρ καὶ ὕδωρ, αἱ ἐναντίαι φύσεις, συνέλθωσιν, εἴπερ ἡ Εἰρήνη τῷ Κωνσταντίνῳ συνέσεται.*

8

+ Ἐρώτησις Γεωργίου τοῦ Μεσημέρη περὶ τῶν πατρῴων καὶ μητρῴων αὐτοῦ πραγμάτων διαφερόντων αὐτῷ, κατεχομένων δὲ παρὰ τοῦ πατρυιοῦ αὐτοῦ. +

Γεώργιος ὁ τοῦ Μεσημέρη Κωνσταντίνου υἱός, ὃς Κωνσταντῖνος ᾤκει
5 *μὲν τὸ Βατραχοχώριον, βίον δὲ τὸν ἐν ἡμῖν ἐξεμέτρησεν, ἐλθὼν πρὸς τὴν ἡμετέραν εὐτέλειαν ἔλεγεν οὕτως· ὡς ἡ μήτηρ τούτου Μαρία, ἀπέθανε δὲ καὶ αὐτή, ἔσχε πρῶτον ἄνδρα καθ' ἡλικίαν νεάζουσα καὶ παῖδας ἐξ ἐκείνου θηλείας δύο ἀπέτεκεν, ἀλλὰ τὸν πρῶτον ἀποβαλοῦσα θανάτῳ καὶ δεύτερον, τὸν Μεσημέρην, ἠγάγετο· καὶ αὐτὸς τὰς παῖδας ἀναθρεψάμενος*
10 *καὶ ἀνδράσι ταύτας ἐναρμοσάμενος, εἰς προῖκα τὰ παρερευθέντα πράγματα*

7 [31] *εἶδε* unsicher, weil dort das Papier beschädigt

πατρῷα ταύτας ἐπροικοδότησε, καὶ τῆς πατρικῆς οἰκίας αὐτὰς ἐκπέμψας, τῷ οἰκείῳ ἀνδρὶ ἑκάστην τούτων ἐκδέδωκεν· αὐτὸς δὲ τῶν οἴκοι ἐπιμελούμενος, ἑνὸς παιδός, τοῦ δηλωθέντος Γεωργίου, ἐγεγόνει πατὴρ καὶ τὸν βίον τοῦτον ἀπέλιπεν· ἡ δὲ τούτου μήτηρ, οὐ κατὰ νόμους, οὐ κατ' ἐκχώρησιν ἐκκλησίας, τρίτον συνοικήτορα ἔσχε τὸν σήμερον περιόντα τῷ βίῳ Νικόλαον 15 *τὸν Ῥωμανόπουλον· τούτῳ παλλακευομένη ἕως θανάτου, τὸν βίον οὕτω διήμειψεν· ὁ δὲ Ῥωμανόπουλος, ἐν κατοχῇ καὶ τῆς τοῦ Μεσημέρη οἰκίας γενόμενος καὶ τῶν τοῦ Γεωργίου μητρῴων ἐν κατασχέσει, ἕως καὶ δεῦρο, φησίν, οἰκειοῦται αὐτὰ καὶ τὰς ἐξ αὐτῶν προσόδους ἐπιγινώσκει. καὶ ἐρωτᾷ ὁ Γεώργιος, εἰ ἔννομόν ἐστι καὶ κανονικὸν ἀνακαλεῖσθαι τοῦτον καὶ τὴν πατρικὴν* 20 *οἰκίαν καὶ τὰ μητρῷα. καὶ λέγομεν, ὡς οὐδὲ ὅλως ἐδέετο ἐρωτήσεως ἡ τοιαύτη ὑπόθεσις, καθότι δευτερογαμήσασα ἡ γυνὴ τῆς τῶν κατ' οἶκον δεσποτείας παρὰ τῶν νόμων ἐκβάλλεται, καὶ ὡς οὐδεμία μετοχὴ τῷ Ῥωμανοπούλῳ ἐστὶ ἐπὶ τοῖς μητρῴοις τοῦ Γεωργίου, ἅτε μὴ γενομένῳ*
Bl. 22 b *ἐννόμῳ τῆς τούτου μητρός, ἀλλὰ || πορνικῇ, ἐπὶ χρόνοις ῥητοῖς, τῇ* 25 *μητρὶ τοῦ Γεωργίου συζήσει. ἔτι ἐκ περιουσίας δέ φαμεν, ὡς, εἰ καὶ ἐγένετο τρίτος ἀνὴρ τῆς θανούσης κατὰ συγχώρησιν ἐκκλησιαστικήν, οὕτως εἰς κληρονομίαν ἐκαλεῖτο τῶν μητρῴων τοῦ Γεωργίου, κἂν ἐπίτεκνον ἐξ ἑαυτοῦ τὴν γυναῖκα ἐποίησεν· ἡ γὰρ διὰ τὸν δεύτερον γάμον τῆς τῶν προτέρων τέκνων ἐπιτροπῆς καὶ διοικήσεως ἐκπεσοῦσα πῶς [πρὸς] τὸν* 30 *τρίτον ἄνδρα διαβιβάσαι εἶχεν; εἴ γε καὶ ἦν δίκαιόν τι κληρονομικὸν ἐφ' οἷς αὐτή τε εἶχεν εἰς προῖκα καὶ ἐφ' οἷς ἀπὸ τῶν τοῦ προτέρου ἀνδρὸς εἰς οἰκείαν ἴσως ἑαυτῆς παρυπεκράτησε περιποίησιν. διὰ γοῦν ταῦτα ἐν δυνάμει ὁ Γεώργιος ἀνακαλέσεται ἀπὸ τοῦ Ῥωμανοπούλου καὶ τὰ μητρῷα πάντα καὶ τὰς ἐκ τούτων προσόδους, ὑφαιρουμένων δηλονότι τῶν* 35 *ἐν μέσῳ δαπανημάτων πρὸς τὴν τούτων διαμονὴν καὶ συντήρησιν. μηνὶ καὶ ἰνδικτιῶνι.* +

9

[Ohne Überschrift.]

Bl. 24 a *Παράλογος οὐκ οἶδα πόθεν ἐν Ναυπάκτῳ συνήθεια ἐπεκράτησε τοὺς τῶν καιρῶν χαρτοφύλακας εἰς ἐπίσκεψιν ἔχειν καὶ κέρδος οἰκεῖον τὰ ἑκάστοτε γαμικὰ συναλλάγματα καὶ μὴ ἄλλως τοὺς ἱερεῖς εὐχὴν ἐπ' ἀῤῥαβῶνι τελεῖν, εἰ μὴ τὴν ἐκ κηροῦ σφραγῖδα τοῦ χαρτοφύλακος δέξονται, διδοῦσαν πάντως τοῖς ἱερουργοῖς ἐννοεῖν, ὡς τῶν νομίμων καιρῶν οὐκ ἐλατ-* 5 *τοῦνται τὰ πρόσωπα, ἀλλ' οὐδ' ἐκ συγγενείας κώλυσιν ἔχουσιν. ἀλλ' αὕτη μὲν ἡ συνήθεια, αὐτὴ δὲ καὶ ἡ αἰτία καὶ οὐ πάντως ἑτέρα τῆς χαρτοφυλακικῆς ἐπὶ τοῖς συναλλάγμασιν ἐποπτείας καὶ τῆς ἀπολύσεως τῶν σφραγίδων.*

8 [26] *ἔτι* nur teilweise vorhanden wegen einer Lücke des Papiers — [30] *[πρὸς]* mein Nachtrag

ἀλλ' οἱ χαρτοφύλακες τέως [καὶ] ὁ παρ' ἡμῖν εἰς τοῦτο τὸ ὀφφίκιον
10 προαχθεὶς ἐξ ἱερομνήμονος Μιχαὴλ ὁ τοῦ Πλαστρᾶ, ἑνὸς καὶ μόνου τοῦ κέρδους δηλονότι γινόμενος, τὰ τῆς ἡλικίας τῶν συναλλασσόντων προσώπων οὐδ' ὁπωστιοῦν εἰς ἐξέτασιν τίθησιν, ὡς αὐτὰ τὰ πράγματα παριστᾷ καὶ ἡ τῶν συναλλασσόντων ὄψις μαρτύρεται. ἐνίοτε γὰρ ὀκταετῆ γυναῖκα ἀνδράσι προβεβηκόσιν ἐκδίδωσι καὶ τοῖς εἰς δέκατον πόδα ἀνεστηκόσι,
15 τοῦτο δὴ τὸ περὶ τῶν μακρῶν ἐκφωνούμενον, τὰ εἰς γόνυ τούτων ἀνατρέχοντα μόνον συνάψαι οὐκ ὤκνησεν. εἶτα παρ' ἡμῶν πολλάκις αἰτιαθείς, τοὺς τῶν κορῶν πατέρας ἀπελογήσατο αἰτίους εἶναι τοῦ ἐπὶ ταύταις παρανομήματος, μαρτυροῦντας τὰ ἴδια τέκνα καὶ τοῦ νομίμου εἶναι ὑπέρχρονα. καὶ ὅτι τοῦτο Ναυπάκτιον τὸ ἀρρώστημα καὶ οὐδεὶς ἐπὶ θυγατρὶ τὸν νόμιμον
20 καιρὸν ἐκαρτέρησεν, μαρτυροῦμεν ἡμεῖς, καὶ ὡς αἰσχύνη τάχα δοκεῖ τοῖς Ναυπακτίοις τοκεῦσιν, εἰ μὴ παρ' ἡλικίαν αἱ θυγατέρες αὐτῶν τὴν παρθενικὴν ὑπανοιγῶσι πυλίδα. ἀλλ' ἔδει τὸν χαρτοφύλακα μὴ ταῖς μαρτυρίαις μόνον τῶν γεννητόρων πιστεύειν, ἀλλὰ καὶ τὴν οἰκείαν ὄψιν ἐπὶ τοῖς τοιούτοις ἔχειν διδάσκαλον καὶ τοῦτο δὴ τὸ δημοτικόν, ἀκοῆς πιστοτέρους ἡγεῖσθαι
25 τοὺς ὀφθαλμούς. τί γοῦν ἐπὶ τούτοις ἔδει ποιεῖν ἐμὲ τὸν ἐπίσκοπον, πολλάκις βαλόντα λόγους νουθετικοὺς || περὶ τούτου εἰς τὰς χαρτοφυλακικὰς ἀκοάς, τοσαυτάκις δὲ ἀστοχήσαντα, θολουμένου τούτου ταῖς λήψεσι καὶ μὴ πρὸς τὸ νόμιμον ἐντρανίζοντος; ἢ πάντως ἐπισκοπικῶς διοικονομήσασθαι τὸ μὴ μένειν τὸ κακὸν ἀθεράπευτον, μηδὲ διὰ τὸ τοῦ Bl.
30 χαρτοφύλακος ἀνεξέταστον πολλὰ τελεῖσθαι παράνομα, ὧν, ἑνὸς ἢ δύο ἐν τῷ παρόντι ἐπιμνησθέντες, τῶν λοιπῶν διὰ τὸ ἄμετρον ἀφεξόμεθα: ὤφθη ἡμῖν ἡ τοῦ ἡμετέρου Μυλωνᾶ Κωνσταντίνου θυγάτηρ, ἡ Καλή, τῷ τζάκονι Ἰωάννῃ τῷ Στυλιανῷ ἐπιτροπῇ χαρτοφυλακικῇ συναφθεῖσα πρὸ χρόνων ἤδη διττῶν καὶ τὴν παρθενίαν φθαρεῖσα ἡ βραχεῖα τῷ ὑπερήλικι καὶ ἡ
35 ἀφῆλιξ τῷ μικροῦ διπλασιάσαντι καὶ τὸν νόμιμον. μία παράνομος αὕτη ἐπιτροπή· δευτέρα ὁμοία αὐτῇ ὁ εἰς συνοικέσιον ἀρραβωνισμὸς τοῦ κομνηνικοῦ μαγείρου Δημητρίου μετὰ τῆς ἀδελφόπαιδος τοῦ ὑπὸ χεῖρα ἡμῶν ἐκ Βαρεσόβης Νικολάου ἀναγνώστου. ἅς τινας καὶ τούτους ἰδών τις, ἔκγονας τῶν συναφθέντων ἢ καὶ κατωτέρω εἴποι πάντως αὐτὰς καὶ οὐκ
40 ἄν ποτε παραδέξοιτο τοῖς τοσούτοις εἶναι εἰκὸς εἰς συνοίκησιν τὰς τοιαύτας ἐλθεῖν, εἰ μὴ ὅτι ἐπὶ τῷ παραλόγῳ γελάσεται μέν, καταμωκήσεται δὲ καὶ τοῦ τὰ συνοικέσια ταυτὶ ἐκχωρήσαντος καὶ οὕτως ἀπαλλαγείη. τὰ μὲν οὖν συνοικέσια ταῦτα ἐν ἰδικῷ ἡμεδαπῷ σημειώματι διαστήσεται, κατὰ δὲ ἐπισκοπικὸν οἰκτιρμὸν οὐχὶ καὶ τοῦ ὀφφικίου παραστελοῦμεν τὸν χαρ-
45 τοφύλακα, ἀλλὰ τοῦτο μόνον ὑπεξελόντες τῶν χαρτοφυλακικῶν ἐνεργημάτων, ἀκωλύτως τῶν λοιπῶν προνομίων καὶ δικαίων τοῦ ὀφφικίου παραχωροῦμεν τῷ χαρτοφύλακι, ἵνα τὸν ἀκρωτηριασμὸν τοῦτον εἰς ὑπόμνησιν ἔχῃ, παιδευτικὴν ἐπὶ τοῖς λοιποῖς. αὐτὴν δὲ ταύτην τὴν τῶν γαμικῶν συναλ-

9 [9] Die Buchstaben in [ ] mein Nachtrag — [31] τὸλοιπ``

λαγμάτων ἐξέτασιν καὶ τὴν ἐπὶ τούτοις τῶν σφραγίδων ἀπόλυσιν ἀνατιθέαμεν ἀπὸ τοῦ παρόντος τῷ θεοφιλεστάτῳ ὑπομιμνήσκοντι τῆς καθ' ἡμᾶς 50 *ἁγιωτάτης ἐκκλησίας κῦρ Γεωργίῳ τῷ Ζωγραφοπούλῳ. ἀλλ' οὐδὲ αὐτὸς ἀκωλύτως καὶ μόνον ἀφ' ἑαυτοῦ τὰς ἐπιτροπὰς ποιήσεται τῶν συναλλαγμάτων, ἀλλὰ τὰ εἰς συνοίκησιν ἐρχόμενα πρόσωπα ὄψει τῇ ἡμετέρᾳ παραστήσεται πρῶτον καὶ μετὰ τὴν ἐξ ἡμῶν τοῦ ποιητέου ἀπόλυσιν αὐτὸς τῶν ἐπὶ τούτοις σφραγίδων ἔσται δωτήρ. καὶ οὐδεὶς οὔτε ἐν τῇ Ναυπάκτῳ* 55 *αὐτῇ οὔτε ἐν τῷ Βοοσώστῃ οὔτε ἐν τοῖς περὶ Ναύπακτον χωρίοις ἄνευ τῆς τούτου κατεξετάσεως γαμικὸν συστήσει συνάλλαγμα, εἰ μὴ βούλεται οἱ μὲν συναλλάσσοντες ἀφορισμῷ καθυποβληθῆναι, οἱ πρεσβύτεροι δὲ τοῦ ἱερατεύειν παυθῆναι, ὀφείλοντος πάντως τοῦ εἰρημένου ὑπομιμνήσκοντος θέσθαι διαλαλίαν πρὸς τοὺς περὶ τὴν Ναύπακτον τόπους περὶ τῶν νομίμων* 60 *τούτων καὶ κανονικῶς ὑποτυπωθέντων. ἀλλ' οὐδὲ αὐτὸς ὁ ὑπομιμνήσκων ἔξω τῆς ἀφ' ἡμῶν εὐθύνης μενεῖ, εἰ παρὰ τὰ διατεταγμένα ποιῶν. μηνὶ καὶ ἰνδικτιῶνι.* +

10

Bl. 25 a + *Σημείωμα διαζυγίου δύο παρανόμων συναλλαγμάτων* +

Ἡ τῶν νόμων διάταξις ἐπὶ τοῖς γαμικοῖς συναλλάγμασι καὶ τοῖς ἀνδράσι καὶ ταῖς γυναιξὶν ἡλικίας ὅρον πρὸς συνάφειαν δίδωσι, τοῖς μὲν τὸν πεντεκαιδέκατον ἐνιαυτόν, ταῖς δέ γε κόραις τὴν τοῦ δωδεκάτου χρόνου ἐκπλήρωσιν καὶ τὴν τοῦ τρισκαιδεκάτου ἐπίβασιν. καὶ καλῶς οἱ νομοθέται ταῦτα 5 *διώρισαν· αὐτίκα γὰρ ἡβάσκει μὲν ὁ ἀνὴρ καὶ ὥς τινα τῆς ἡλικίας ἄνθη πρωτοφανῆ τὴν ἥβην ἀνατέλλει ἀπὸ τῆς φύσεως καὶ δῆλος πάντως ἐστὶν ἀπὸ τοῦ ἄνθους τούτου τοῦ φυσικοῦ, ὡς καὶ καρπὸν ἐγγὺς προβαλεῖται καὶ ἀπογεννήσεται ἄνθρωπον· ἡ δὲ γυνή, ἀλλὰ καὶ αὕτη δεκτικὴ τὸ ἀπ' ἐκείνου τυγχάνει ἀνδρὸς καὶ ἀρκοῦσα πρὸς γέννησιν καὶ ἐπιτηδεία μᾶλλον* 10 *πρὸς οἰκωφέλειαν. καὶ ἔδει ταῦτα οὕτω κατὰ Ναύπακτον καὶ περισκοπεῖσθαι καὶ πράττεσθαι· καὶ μήτε τοὺς ἱερεῖς ἐν ταὐτῷ παρανομίαν συνάπτειν καὶ εὐλογίαν, μήτε τοὺς τῶν παίδων πατέρας τῶν οἰκείων τέκνων καταμαρτυρεῖν τὰ παράνομα καὶ τὴν ὀκταετῆ, καὶ κατωτέρω τυχόν, ἐνιαυτῶν τρισκαίδεκα μαρτυρεῖν καὶ ἀνδρὶ συνάπτειν ἔστιν οὗ τεσσαρά-* 15 *κοντά τε καὶ πρός, ὡς ἐν τῷ παρόντι δουκικῷ μαγείρῳ Δημητρίῳ τὴν τῆς Βαρεσοβιτίσσης ἀφήλικα θυγατέρα, καὶ πρὸ τούτων, τὴν τοῦ ἡμετέρου Μυλωνᾶ θυγατέρα Καλήν, τῷ Στυλιανῷ Ἰωάννῃ, ἀνδρὶ καὶ τούτῳ πάππῳ τάχα τῆς συναφθείσης ἢ κατὰ συγγνώμην πατρί. καὶ τῶν παρανομημάτων τούτων τὰ τέλη πρόδηλος πάντως παιδοφθορία· οὐδὲ γὰρ ἀνάσχοιτο ἂν* 20

10 [14] *ὀκ////ταετῆ* (die Striche //// bedeuten eine Rasur von zwei Buchstaben)

τοσοῦτος ἀνὴρ κοριδίῳ συγκοιταζόμενος καὶ μὴ συνέρχεσθαι τούτῳ ἢ ἐκ τῆς συμπλοκῆς μὴ καὶ ψυχὴν καὶ σῶμα μολύνεσθαι. ἄλλοι δὲ τῶν τάχα προςεκτικῶν καὶ τὴν ἀπὸ τοῦ νόμου τελείωσιν ἐπὶ ταῖς συναφθείσαις αὐτοὺς ἀναμένοντες ἐπὶ τὰς αὐτῶν ἐξώκειλαν πενθεράς· καὶ ἴσασι πολλοὶ τοιαῦτα 25 γεγονότα ἐν Ναυπάκτῳ διάφορα, κἂν ἡμεῖς ὀνομαστὶ κωμῳδεῖν παραιτούμεθα τοὺς εἰς τὰ πάθη ταῦτα κατολισθήσαντας. ἀλλ' οἱ μὲν οὕτω μαρτυροῦντες περὶ τῶν τέκνων πατέρες τάχα καὶ συγγνωστοί, ὡ || ςὑπὲρ Bl. τῶν οἰκείων τέκνων σπουδάζοντες, καὶ ἡ πρὸς τὰς πενθερὰς παράπτωσις τῶν ἀνδρῶν τῇ φυσικῇ ἀνάγκῃ δοθήσεται. ὁ δὲ ταῦτα ἐπιτρέπων τῆς 30 μητροπόλεως χαρτοφύλαξ καὶ τῇ ἑαυτοῦ παρουσίᾳ τὰς παρανόμους ταύτας ἐπισφραγίζων πράξεις, οὐκ οἶδα, εἰ συγγνώμην ἕξει παρὰ τοῖς ἔχουσι νοῦν, καὶ μᾶλλον, ὅτι πολλάκις νουθετηθεὶς ὑφ' ἡμῶν, μὴ τοιαῦτα ἐπιτρέπειν παράνομα, ἀλλὰ λέγειν τοῖς παρανομοῦσι τὸ τῆς γραφῆς, μὴ παρανομεῖν. ὁ δὲ οὔτε τοὺς ἡμετέρους λόγους οὔτε τὸ τῶν συναπτομένων ᾐδέσθη 35 ἀνοίκειον · ἀλλ' οὐδὲ τὴν ἐξ ἀνθρώπων νέμεσιν ὑπεστείλατο, ἀλλὰ πάρεστι μὲν καὶ τοῖς παρανόμοις συνευδοκεῖ καὶ τὸν λαιμὸν θεραπεύει· καὶ τὸν μὲν μυστικὰ τῇ οἰνηρᾷ φιάλῃ βαπτίζει, καταβρέχει δὲ τὴν ὑπόνοιαν ὡς τοῖς παρανομοῦσι συνεστιώμενος. ἀλλ' οὐδ' οὕτως ἡ ἡμετέρα εὐτέλεια ἐπὶ τὸν χαρτοφύλακα τὴν χεῖρα ἐβάρυνε· καίτοι δέον καὶ τοῦ ὀφφίκιου τοῦτον 40 παρασταλῆναι καὶ κανονικῶς εὐθυνθῆναι καὶ συσταλῆναι τοῦτον ἐντεῦθεν εἰς ἑαυτόν, ὡς λόγος τοὺς ἐν θαλάσσῃ ναυτίλους ἰχθῦς, ὅτε χειμῶνος αἰσθάνονται· ἀλλὰ τῶν χαρτοφυλακικῶν ἁπάντων δικαίων καὶ προνομίων τοῦτο μετατελουμένη μόνον, τῶν γαμικῶν συναλλαγμάτων ἐξέτασιν, καὶ ταύτην ἀνατιθεμένη τῷ θεοφιλεστάτῳ ὑπομιμνήσκοντι τῆς καθ' ἡμᾶς 45 ἁγιωτάτης ἐκκλησίας, Γεωργίῳ τῷ Ζωγραφοπούλῳ, τἆλλα πάντα χαρτοφυλακικὰ ἐνεργήματα παρῆκε τῷ χαρτοφύλακι. τὰ μέντοι ἀναγεγραμμένα κεφάλαια δύο, τό τε ἐπὶ τῇ θυγατρὶ Μυλωνᾶ Κωνσταντίνου καὶ ὅπερ ὁ δουκικὸς συνεστήσατο μάγειρος μετὰ τῆς θυγατρὸς τῆς Βαρεσοβιτίσσης, ἀπραξίαν ἕξει παντελῶς καὶ διάστασιν· καθότι καὶ νόμος* πολιτικὸς τὰ 50 τοιαῦτα διΐστησι καὶ πρᾶξις συνοδική, ἐκφωνηθεῖσα ἐπὶ τοῦ τῆς ὁσίας μνήμης ἁγιωτάτου πατριάρχου κῦρ Ἰωάννου τοῦ Καματηροῦ, τῆς ἡμῶν εὐτελείας αὐτίκα ἐκτιθεμένης τὰ συνοδικὰ ὑπομνήματα, ἡνίκα ὁ μεγαλοδοξότατος πρωτονωβελίσιμος ἐκεῖνος κῦρ Θεοχάριστος ὁ Ἀβοσκομίτης ἐρώτησιν ἐπίκοινον προετείνατο, ἡ σύνοδος δὲ ἀπεφήνατο, μὴ δεῖν συνίστασθαι 55 συνοικέσιον τῆς δωδεκαετίας ἐντός. εἶχε καὶ ἐν μέρει τὸ σημείωμα οὑτωσί· «τὰ μερικὰ ζητήματα καὶ ἰδικὰ πολλάκις ἔχουσιν αἴτια· ἡμεῖς δὲ καθολικῶς ἀποφαινόμεθα, ὡς ἅπαν συνάλλαγμα καὶ πᾶσα μνηστεία ἐντὸς τῆς δωδεκαετίας, εἰ προβαίνοιεν, ἀντ' οὐδενὸς λογισθήσεται, ἀλλ' οὐδὲ εἰ μετὰ τὴν ἀνηβότητος πρᾶξιν εἰς ἡλικίαν νομικὴν ἐλάσει τὰ πρόσωπα, τὸ κῦρος ἕξει

τὸ συνοικέσιον· τὰ γὰρ ἐξ ἀρχῆς ἀνυπόστατα συστῆναι διὰ τέλους οὐ δύ- 60
νανται». κατὰ γοῦν τὴν νομικὴν παρατήρησιν καὶ τὴν συνοδικὴν ταύτην πρᾶξιν
διασπασθήσεται καὶ τὰ ἀναπεφωνημένα δύο παράνομα συνοικέσια καὶ
καθ' ἑαυτοὺς τὰ πρόσωπα ἰδιάσουσι· καὶ οἱ μὲν ἄνδρες λήψονται τὰ
κατ' αὐτοὺς καὶ τὰς δοκούσας αὐτοῖς, αἱ δὲ γυναῖκες ἀναμενοῦσι τὸν νόμιμον
καὶ οὕτως συναφθήσονται τοῖς τηνικαῦτα ταύταις ἀρέσκουσι. καὶ μελήσει 65
τῆς τούτων ἀναμφιλόγου καὶ ἐμπράκτου διαστολῆς τῷ τὴν περὶ τούτων
ἐπιτραπέντι φροντίδα ὑπομιμνήσκοντι· κατὰ γὰρ τὴν ἡμετέραν γνώμην ἤδη
διέστησαν. μηνὶ καὶ ἰνδικτιῶνι.

11

Bl. 28 b + *Σημείωμα γεγονὸς ἐπὶ τῇ φθορᾷ τῶν γεννημάτων τῆς ἐπισκέψεως Βαρεσόβης καὶ τῶν λοιπῶν χωρίων* + +

Ἀνεμοφθόρον ἐν ἀμητῷ υἱὸν παράνομον γίνεσθαι ὁ Σολομὼν γνωματεύεται.
ἀλλ' εἰ μέν τις καθ' ὑψηλοτέραν ἔννοιαν ἐκλάβοι τὸ γνωμάτευμα, υἱὸν
νοήσει παράνομον τὸν τοὺς θείους νόμους παραθεωροῦντα καὶ τὰ ἐντάλ- 5
ματα κἀντεῦθεν μὴ σπείροντα εἰς ψυχήν, μηδὲ τὸν ἔγκαρπον ἀμῶντα
σῖτον τῆς ἀρετῆς, ἀλλ' ὑπὸ τῶν τῆς πονηρίας ἀνέμων ὅπη καὶ τύχῃ μετα-
φερόμενον καὶ παραφθειρόμενον, ἅτε τὸν ἀχυρώδη βίον προτιμησάμενον
καὶ εὐρίπιστον καὶ τὸν ἀνεμοφθόρον οὕτω διὰ κουφότητα. εἰ δὲ καὶ πρὸς
τὴν ἐνεστῶσαν θεομηνίαν καταγάγοι ταύτην τὴν ἔννοιαν, εὐστόχως πρὸς 10
τὸ πραχθὲν ἀποτοξεύσει τὸ σολομώντειον καὶ παρανόμους ἡμᾶς υἱοὺς κατα-
λήψεται κἀκ τῶν συμπεσόντων καὶ περὶ τὰς ἀρούρας δυστυχημάτων ἡμῖν
δικαίως ἐναρμόσεται τὸ παράνομον. πατέρα γὰρ ἡμῶν ἐπικαλούμενοι θεὸν τὸν
ἐπουράνιον καὶ τοιούτῳ τούτῳ πατρὶ γίνεσθαι υἱοὶ κεκελευσμένοι ὑπήκοοι,
ἀλλά γε διὰ τῶν πράξεων τοῦ θεοῦ ἀλλοτριούμεθα καὶ πατρὸς καὶ αὐτοῦ 15
ψευδόμεθα τὴν υἱότητα, ταῖς πλημμελείαις τε παλαιούμεθα καὶ ἀπὸ τῶν
ἰδίων τρίβων χωλαίνομεν καὶ ὡς τὰ ἐφεξῆς περιστενεῖ ἐν στενῷ τὸν τῶν
ἀναφωνήσεων πλατυσμόν, ἐνεώσαμεν ἑαυτοῖς κατὰ τὴν παρελθοῦσαν ἰν-
δικτιῶνα νεώματα τρόπον διάφορον ἢ ὡς ὁ θεσπέσιος Ὠσηὲ τοῖς τῆς
νοουμένης γῆς ἐργάταις προφητικῶς ἐγκελεύεται. τέως δ' οὖν ἐνεώσαμεν 20
καὶ ἀρούρας ἑαυτοῖς ἐβωλοκοπήσαμεν καὶ δευτέρῳ καὶ τρίτῳ ἀρότρῳ
ἀνεμοχλεύσαμεν τὰ νεώματα, τόν τε σπόρον ἡμῖν ἑαυτοῖς κατεβάλομεν
καὶ δοῦναι ἡμῖν τὸν θεὸν κατὰ τὴν ὑποθήκην τοῦ Ἰωὴλ πρώϊμον καὶ ὄψιμον
ὑετὸν ἐθεοκλυτήσαμεν. καὶ κύριος ταύτην τὴν χρηστότητα δέδωκε καὶ
ἡ γῆ ἡμῶν δοῦναι τὸν καρπὸν αὐτῆς ἐπηγγέλλετο, ἀλλὰ τὰς ἐλπίδας ταύτας 25
τὸ ἡμῶν παράνομον ἐματαίωσε καὶ ἐν αὐτῷ τῷ ἀμήτῳ ἀνεμοφθόροι γεγό-
ναμεν· ὅτε γὰρ ἄμητος τοῖς ἀθλίοις ἡμῖν γεωργοῖς προσδόκιμος ἦν καὶ

βορρέας, ὃς τῇ ἱερᾷ διωνυμεῖται γραφῇ καὶ οὐκ οἶδα πῶς δεινὸς ἐν αὐτῇ
καὶ ἐπιδέξιος ὀνομάζεται καὶ ὃν οὐ λέγω ἄρτι αἰθρηγενέτην, ἅτε σκότους
30 ἡμῖν τὸ ἐξ ἀθυμίας γενόμενον αἴτιον, διὰ τὴν φθορὰν τῶν καρπῶν,
ἐφ' ἡμέραις οὐ μετρηταῖς λαμπρὸς καταβάς, ἀστάχυας μὲν τῶν ἡμετέρων
ληΐων, ὅσα ἐν τῇ περιοχῇ τοῦ ὑπὸ τὴν ἡμετέραν ἐκκλησίαν προαστείου,
τοῦ ἀπὸ τοῦ μεγαλομάρτυρος Γεωργίου ὠνομασμένου, ἑαυτοῖς κατεσπείραμεν,
ὅσα περὶ τὸ πλάτος τῆς ἐπισκέψεως Βαρεσόβης οἱ ταύτης ἔποικοι,
35 ὅσα τὸ ὑπ' αὐτὴν χωρίον τὸ Τρόχωμα, ὅσα ὑπὸ τὴν Ἁμμωδηράν, κατὰ
κλῆρον ἀρχαῖον μεμερισμένην ἔχοντες ἑαυτοῖς, καὶ πολλὰ τῶν ἐν τῇ πεδιάδι
τοῦ Ἀετοῦ, ὡσεί ἀκρίδας ἅπαντα ἐξετίναξε, βιαίαν ἐπιπνεύσας τούτοις
πνοὴν καὶ κατασείσας ἔνθα καὶ ἔνθα, ὡς μὴ μόνον τοὺς κόκκους ὅπη τύχῃ
καὶ σκεδασθῆναι τῆς συστοιχίας ἀποσπασθέντα, ἀλλὰ καὶ αὐτὴν τὴν καλά-
40 μην κατακλασθῆναι, κατὰ πρόσωπον ἀνέμου τούτου μὴ ὑποστᾶσαν. ἀλλ' ἡ
μὲν προφητικὴ ἀρὰ τὸν ἀρτάβας σπείροντα ἓξ μέτρα τρία κατεπαρᾶτο
ποιῆσαι, ἡμῖν δὲ οὐδὲ ἀπαρχὰς Κυρίῳ τὸ θέρος καρποφορήσει· καὶ ὡς
τοῖς θεολογικοῖς καταχρήσασθαι, οὐ δράγμασι τὸ θέρος ἡμῶν, ἀλλὰ μησὶ
καὶ μόνοις κατανοεῖται. Ἰὼβ δέ, εἰ σπείραιμι μόνον, φησίν, ἐμαυτῷ, σπεί-
45 ραιμι ἄρα καὶ ἄλλοι φάγοιεν, τὸ ἀμετάδωτον ταλανίζων καὶ τὸν ἐν εὐαγγε-
λίοις ἄφρονα πλούσιον προφητικῶς προορώμενος, ὃς ἔχεις πολλὰ ἀγαθὰ
πρὸς τὴν ἰδίαν ψυχὴν διαλέγεται καὶ τὰς ἀποθήκας αὐτοῦ καθαιρεῖ καὶ
μείζονας ἑτέρας οἰκοδομεῖ πρὸς τὴν ἐκ τῆς ἀπὸ τῶν σπορίμων εὐθηνίας
ἀπόθεσιν. ἡμεῖς δὲ οὐκ αὐτοὶ φαγόμεθα ἐξ ὧν καὶ ἐσπείραμεν, οὐχ
50 ἕτεροι ἔδονται· λαῖλαψ δὲ || ἄνεμος, κατὰ τὸν αὐτὸν Ἰώβ, τοὺς ἡμετέρους Bl. 29a
πόνους ὑπέλαβε καὶ πρὸ τοῦ ἐν τῇ χειρὶ γεωργικοῦ πτύου ἄνεμος ἐσκέδασέ
τε καὶ διελίκμησεν, οὐ καρπὸν διακρίνας καὶ ἄχνας, ὡς καὶ τὸ ὁμηρικὸν
ἐνταῦθα παραγαγών, ἀλλ' αὐτῷ καρπῷ, αὐτοῖς ἀχύροις συνδιαφθείρας καὶ
διασκεδάσας ὡς ἕκαστον. καὶ νῦν, ὅπου παρ' ἡμῖν διὰ τὴν προφανεῖσαν
55 βοτάνην τῶν σπερμάτων, διὰ τὸν χόρτον, διὰ τὴν ἕως καὶ θέρους ἀναδρο-
μὴν αὐτῶν εὐφυῆ, ηὐλίσατο ἀγαλλίασις, κλαυθμὸς ηὐλίσθη καὶ θρῆνος
καὶ στεναγμός, ἑσπέρας ταύτης ἐξ ἀθυμίας ζοφώδους ἐπιλαβούσης ἀέλπτως
τοὺς ταλαεργοὺς ἡμῶν γεωργούς. ταῦτα ἐν τοῖς ἀναγεγραμμένοις τόποις
ἐπράχθη, ταῦτα ἐν οὐκ ὀλίγοις τοῖς κατὰ Ναύπακτον, ταῦτα κατὰ χωρία
60 καὶ τόπους, Νεσιανά τε καὶ Σκρίζοβαν καὶ ὅσα ἕτερα οὐχ ὑπήνεμα, ἀνέμοις
δὲ διὰ τὸ ἐκφανὲς τῶν τόπων καταπνεόμενα. ἃ δὲ ἐπράχθη, ἃ δὲ ἠκούσθη,
ἃ ἐθεάθη, ἐκ μέρους τῆς συμφορᾶς ἡμῶν ἁψαμένων, ἀμυδρῶς εἰπεῖν καὶ
ἐπιπόλαιον ἐσχεδίασται, οὐχ ἵνα ἐντεῦθεν τὶ κερδανοῦμεν, ταῦτα ἐκτρα-
γῳδοῦντες, ἀλλ' ὡς καὶ τοῖς ἄλλοις γνωρίσωμεν, ἁμαρτικωτέρους εἶναι τῶν
65 πάντων ἡμᾶς καὶ οὕτω βαρυσυμφορωτέρους δι' ἁμαρτήματα. μηνὶ καὶ
ἰνδικτιῶνι.

12

Bl. 32 a [Der Eingang fehlt.]

ἐπιμελείας αὖθις μοχλόν, εἴ πως ὁ τοὺς πεσόντας ἀνεγείρων θεὸς καὶ τοὺς συντετριμμένους ἰώμενος καὶ ταύτην αὖθις ἀνεγειρεῖ καὶ ἰάσεται· δυνατὸς γάρ ἐστι πάντως ὁ τελῶν ἐν ἀσθενείᾳ τὴν αὐτοῦ δύναμιν καὶ τὰ ἔσχατα τοῦ Ἰὼβ εὐλογήσας ὑπὲρ τὰ πρῶτα καὶ ἐπὶ τῇ μονῇ τερατουργῆσαι τὰ ὅμοια. καὶ ἐπεὶ Παῦλος μὲν φυτεύει, Ἀπολλὼς δὲ ποτίζει, 5 *αὐξάνει δὲ ὁ θεός, τρόπον τὸν αὐτὸν καὶ ἡμεῖς ἐπιλεξάμενοι ἄνδρα, τὸν πανιερώτατον ἀρχιεπίσκοπον Γαρδικίου κῦρ Ἰωάννην, ἐν τόποις ἑτέροις καὶ πράγμασι καρπὸν ἐπιμελείας προσενεγκόντα ὅσα ἡμεῖς εἰδέναι περὶ αὐτοῦ, τῇ μονῇ ἐμφυτεύομεν. ὁ δὲ κράτιστος Δούκας τὴν τοῦ ἐλέους ὑδραγωγίαν καὶ συγκροτήσεως ἐποχετεύσει τῷ φυτευθέντι καὶ ῥιζωθήσεται* 10 *τῇ ἀρδείᾳ καὶ ὁ θεὸς αὐξήσει τὸ φύτευμα. ἔστι δὲ καὶ ἄλλως ἐπαινετὸν ἀρχιερέα θεοῦ, τῆς οἰκείας ποίμνης ἀπελαθέντα καὶ πλανήτην ὧδε κἀκεῖσε περιφερόμενον καὶ ἀστατοῦντα ἐντεῦθεν, στῆναι τῆς ἄλλης ποτὲ καὶ τόπον εὑρέσθαι καὶ σκηνὴν καὶ κατάλυμα. ὅθεν καὶ ἀνατιθέαμεν αὐτῷ τὴν ἡμετέραν ταύτην μονὴν εἰς ἐφορείαν καὶ εἰς διοίκησιν +* 15

13

Bl. 48 b *Μηνὶ ἰουνίῳ ἰνδικτιῶνος ιε΄· ἐπὶ παρουσίᾳ τῶν κληρικῶν καὶ ἀρχόντων +*

Γυνὴ Κορινθία, ὄνομα Εἰρήνη, τὸ σῶμα κατάσαρκος, πολιὰς ἀνθοῦσα ἤδη περὶ τὸν κρόταφον, τὴν ἰδέαν μελάχρους, θυγατέρα ἑαυτὴν ὀνομάζουσα τοῦ Ἁγιοαγαθίτου ἐκείνου, κληρικὸς δὲ ὁ Ἁγιοαγαθίτης ἐτύγχανε τῆς ἐν Κορίνθῳ τοῦ θεοῦ μητροπόλεως καὶ τοῦ τῶν ἀναγνωστῶν ἐξάρχων 5 Bl. 49 a *χοροῦ, διαπλώϊμος ἐλθοῦσα εἰς Ναύπακτον καὶ γενομένη ἐ || μφανὴς τῇ εὐτελείᾳ ἡμῶν πολλὰ καὶ ἐπὶ πολλῶν βαρέα κατέλεγε τοῦ ἐντιμοτάτου δικαίου καὶ χαρτοφύλακος τῆς ἁγιωτάτης μητροπόλεως Λαρίσσης κῦρ Λέοντος τοῦ Μακροῦ. ἔλεγε δέ, ὡς ἐν νεότητι οὖσα μνηστείας καὶ ἱερολογίας εὐχὴν ἐδέξατο κατὰ Κόρινθον μετὰ τοῦ εἰρημένου Μακροῦ καὶ* 10 *τὸν οἰκεῖον ἄνδρα ἀναζητεῖ, ὃν ὑπετόπαζεν ἢ τεθνάναι ἢ κατὰ τὰ μέρη τὰ ἑῷα διάγειν διὰ τὸν ἐκ τῆς Λατινικῆς ἐπελεύσεως τοῖς ἀνθρώποις ἐπιγενόμενον σκεδασμὸν καὶ ἄλλον ἄλλῃ καὶ τοὺς πολλοὺς ἀναδραμεῖν πρὸς Ἀνατολὰς διὰ τὸ ἐκεῖσε τοὺς Ῥωμαίους ἔτι ἐπικρατεῖν. νῦν δέ φησι μαθοῦσα ἐκ διαφόρων, ὡς ἔτι ζῇ ὁ παρ᾽ αὐτῆς λεγόμενος εἶναι ταύτης οὗτος* 15 *ἀνὴρ καὶ ὡς ἐν τοῖς μέρεσι Βελεχατουΐας καὶ Ναυπάκτου διάγει καὶ βίον ἔχει καὶ ὕπαρξιν καὶ πραγμάτων εὐθηνίαν καὶ τῶν φαινομένων ἐγένετο, ἠναγκάσθη ἀναζητῆσαι τοῦτον καὶ ἐφευρεῖν καὶ ὡς οἰκεῖον ἄνδρα παρθενικὸν ἀνακαλέσασθαί τε καὶ ἐγκολπώσασθαι. καὶ ἦν ἡ γυνὴ ἐπὶ τῶν λόγων τούτων καὶ τῶν ἐνστάσεων καὶ ἡμέραι διεμετρήθησαν ἱκαναὶ καὶ τοῦ* 20

ταυτολογεῖν οὐκ ἀφίστατο. καὶ ἐξ ὧν ἐλάλει καὶ ἐξ ὧν ἐνεφάνιζε βαρέως ἐπεφύετο τῷ Μακρῷ· ὑπεδείκνυε γὰρ καὶ χάρτην τινὰ γενόμενον κατὰ Κόρινθον ἐν τῷ παρελθόντι μαΐῳ, φέροντα δὲ καὶ ὑπογραφὴν τῶν ἐκτεθέντων αὐτὸν καὶ μαρτυρίας τούτων ἐνόρκους καὶ συνιστώντων δῆθεν
25 τὸν τοῦ Μακροῦ μετὰ τῆς εἰρημένης σύνδεσμον γαμικὸν καὶ τὴν ἔννομον ἐπ' ἐκκλησίας ἱερολογίαν τε καὶ γαμικὴν τελειότητα. καὶ ταῦτα μὲν καὶ ἡ γυνὴ καὶ ὁ χάρτης· ὁ δὲ Μακρὸς ἀντεπεφέρετο ταύτῃ καὶ συνόλως ἐφ' οἷς ἐλάλει, ἐφ' οἷς ὑπεδείκνυε, ψεύδεσθαι αὐτὴν διετείνετο καὶ ἑτοίμως ἔχειν ἀπισχυρίζετο ψευδηγόρον ἀποδεῖξαι ταύτην δι' ἐγγραφῆς, εἰμὴ παρ' ἡμῶν
30 ἐκωλύετο, ἀκουόντων μὲν τῶν ὑπὸ τῆς γυναικὸς λαλουμένων, μὴ παραδεχομένων δὲ αὐτὴν ἐκ τοῦ παρ' εὐθύ, ἀλλὰ κατὰ νόμους μάρτυρας ἀπαιτούντων παραστῆσαι αὐτήν, ὁποίους καὶ ὅσους ἡ νομικὴ ἀκρίβεια διατάσσεται, ὅτε κατὰ ἱερωμένων κινοῦνται ἐγκλήματα, ἑπτὰ δηλονότι τὸν ἀριθμόν, καὶ τούτους ἀκατηγορήτους, ἀδωρολήπτους, μὴ ἐγκλήματι κρα-
35 τυνομένους, μὴ ὠνητούς, ἀλλ' ἐρχομένους αὐτεπαγγέλτους εἰς τὸ ὀμνύειν καὶ συνιστᾶν τὰ ἐγκλήματα, ἔτι τε μὴ οἰκειακούς, μηδὲ προσγενεῖς, μηδὲ προκατειλημμένους ἐμπαθείᾳ καὶ ἔχθρᾳ καθ' οὗ τοὺς ὅρκους ἐπάξουσιν, ἀλλ' ἐλευθέρους καὶ τὴν χεῖρα καὶ τὴν ψυχὴν καὶ τὸν τρόπον καὶ τὸν βίον ἀνεπιλήπτους καὶ διὰ ταῦτα παραδεκτοὺς εἰς τὴν καταμαρτυρίαν τῶν
40 ἀφιερωμένων θεῷ. τούτων ἡ γυνὴ ἀποροῦσα τοτέως ἡσύχαζε, μετὰ δέ τινας ἡμέρας ἡμῖν παραστᾶσα παλίγγλωσσός τε ἐγεγόνει καὶ ἑκουσία παλίλλογος καὶ τὴν χθὲς καὶ πρὸ τρίτης ἔνστασιν ἐκείνην καὶ τοὺς ἀγῶνας εἰς ἐναντιολογίαν μεταβαλοῦσα, ἣν ὑπήνοιξε κατὰ τοῦ Μακροῦ κατηγορίας θύραν καὶ εἴσοδον, αὐτὴ ταύτην τῇ ἰδίᾳ γλώσσῃ καὶ ἐπεζύγωσε καὶ ἐπέ-
45 κλινε· καὶ εἶπεν ἀναφανδὰ ἐνώπιον τῶν ἀναγεγραμμένων συνέδρων καὶ ὄχλου παρακρουσθῆναι τὴν ὄψιν καὶ κατὰ πλάνην τῆς ὀπτικῆς ἐπιφῦναι τῷ χαρτοφύλακι, ἔχοντι ἀμυδράν, ὡς εἶπεν, ἐμφέρειαν πρὸς τὸν ὑπ' αὐτῆς ἀναψηλαφώμενον· καὶ μέλλει τοῦτον ἐν τοῖς Ἑῴοις ἀναζητεῖν, ἔνθα τὸν ἀληθῶς αὐτῆς ἄνδρα εὑρήσει καὶ ἀναλήψεται. γέλως ἐπὶ τούτῳ τοῖς πᾶσιν
50 ὦρτο πλατύς, εἰπεῖν ὡς ἡ ποίησις, εἴ γε χθὲς μὲν ἐπὶ τῷ Μακρῷ Λυγγέως ὀξυωπέστερον ἔβλεπε, σήμερον δ' ἐλήμα κολοκύντας, ὡς εὐκαίρως καὶ τὸ τῆς παροιμίας ἐρεῖν, καὶ ἀπὸ Κορίνθου ἀμβλύστερον εἰς Ναύπακτον ἔβλεψεν, ἀπὸ δὲ ταύτης εἰς Ἀνατολὴν ὠξυώπησε. καὶ ἀπεβουκολήθη διὰ ταῦτα τοῦ συνεδρίου καὶ ἀπεῤῥίφθη καὶ ψευδηγόρος ἐκρίθη καὶ κατήγορος
55 πρόδηλος. καὶ αὕτη μέν, οὕτως· ὁ δὲ Μακρὸς «βοηθήσω, εἶπε, τῷ κατηγόρῳ καὶ ἣν ἀμβλυωπίαν ἔχει περὶ ἐμὲ ἀφέλωμαι ἀπ' αὐτῆς καὶ δείξω ταύτην ἐξ ἀνυποστάτου ἀρχῆς τῶν εἰς ἐμὲ καὶ αὐτὴν τὴν ὅλην κατηγορίαν καὶ συνθεμένην καὶ ἀναπλάσασαν». καὶ ἀναλαβὼν τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἔλεξεν οὕτως· «ἦν, φησί, παιδίον, τῆς ἡλικίας ἔτι ἔχων ἀτέλειαν, ἐτέλουν
60 δὲ ὑπὸ διδάσκαλον ἐν τῇ πατρίδι μου, τῷ Χρυσῷ, καὶ ὁ μαΐστωρ ἐκεῖνος

13 51 δέ, λῆμα

Bl. 49 b ‖ *βαρέως μοι διὰ τὰ μαθήματα προσεφέρετο· καὶ φυγὼν τὸ ἐκείνου* 65
φορτικὸν ἐπ' ἐμὲ ἐγενόμην πρὸς τῇ Κορίνθου καὶ τῷ ἀρχιεπισκόπῳ ἐκείνῳ τῷ Χρυσοβέργῃ προσῳκειώθην· καὶ ἦν ὑπ' ἐκεῖνον ταττόμενος καὶ ὑπηρετῶν ἐν τοῖς γράμμασιν· ὁ πατὴρ δὲ ταύτης τῆς γυναικός, δεινὸς ὢν ἄνθρωπον ὑπελθεῖν καὶ πράγματα συσκευάσαι τῶν ἀπ' αἰῶνος ὀπωριμώτατος, ἀπάτῃ καὶ θωπευτικῶς περιῆλθέ με, εὔστομόν με παιδίον βλέ- 70
πων, ὡς ἐκείνῳ ἐδόκει, καὶ χεῖρα εὐφυεστέραν ἔχον περὶ τὸ γράφειν, καὶ σημεῖα παρέχων, ὡς ἐνομίζετο τοῖς πολλοῖς, ὡς προκόψας εἰς ἡλικίαν καὶ καταστὰς ἀνὴρ ἐντελὴς καὶ εἰς βιωτικὴν εὐδρομίαν ὀρθοποδήσω καὶ πραγματικὴν περίσσειαν κτήσομαι καὶ γνωστὸς κατασταθήσομαι τοῖς πολλοῖς. ταῦτα ἐκεῖνος διανοούμενος ἐπ' ἐμέ, ὡς μηδένα ἐν Κορίνθῳ τὸν προ- 75
νοούμενον ἔχοντα, ὑπεποιήσατό με ἀπάτῃ, καὶ σιγνογραφίαν ἐν χάρτῃ ἐχάραξα ὡς δῆθεν ἐπὶ γαμικῷ συναλλάγματι μετὰ τῆς νῦν ἀγνοούσης με. ἀλλ' οἱ προσήκοντές μοι τοῦτο μαθόντες καὶ ὁ πατήρ, ἐλθόντες ἐν Κορίνθῳ, λάθρα ἐκεῖθεν μετήγαγόν με πρὸς τὸν Χρυσόν. δεδοικότες δέ, μή ποτέ μοι ἐμπόδιον γένηται ἡ σιγνογραφία ἐκείνη πρὸς ἱερατικὴν καὶ 80
προκοπὴν καὶ παρύψωσιν, σὺν ἐμοὶ ἀνέδραμον εἰς Κωνσταντινούπολιν· καὶ ἐντυχόντες τῷ τῆς ὁσίας μνήμης οἰκουμενικῷ πατριάρχῃ κῦρ Γεωργίῳ τῷ Ξιφιλίνῳ γράμμα τῆς ἐκείνου ἁγιότητος πρὸς τὸν ἀρχιεπίσκοπον ἐπορίσαντο, ἐνδιδοῦν καὶ ἐπισκῆπτον ἐκείνῳ καὶ τὸ συμβόλαιον διαῤῥῆξαι καὶ τὸν πατέρα ταύτης καὶ τὸν ταβελλίωνα κανονικῶς μετελθεῖν. ἅτε ὄντος 85
αὐτίκα ἐμοῦ καὶ παιδὸς καὶ ὑπεξουσίου καὶ καταψηφισαμένου διὰ ταῦτα τοῦ πατριάρχου τοῦ γαμικοῦ ἐκείνου συμβολαίου ἀνισχυρότητα, πέπρακται ταῦτα καὶ διεῤῥάγη ὁ χάρτης καὶ ὁ πατὴρ αὐτῆς καὶ ὁ ταβελλίων δεσμοῖς καὶ φυλακαῖς ἐκολάσθησαν, ὡς μὴ τοιούτοις ἀσυστάτοις αὖθις ἐπιχειρήσαιεν». καὶ διεξῄει τὸν χάρτην ὁ εἰρημένος Μακρός, ἀρχῆς ἀπ' ἄκρης εἰς 90
τὰς ἡμῶν ἀκοάς, καὶ τὴν ὅλην ὑφὴν ἀπεστομάτισεν ἐφ' ἡμῶν, προσειπών, ὡς παρ' ἐμοῦ τοῦ Ναυπάκτου, ὄντος αὐτίκα πατριαρχικοῦ νοταρίου, ὁ χάρτης ἐκτέθειται. καὶ προσήκατο καὶ ἡ ἀκοὴ ἡμῶν τὴν ἀπαγγελίαν τοῦ πιττακίου καὶ ἡ ψυχὴ τὴν ἔκθεσιν κατεδέξατο, ἐοικυῖαν ἄντικρυς τοῖς ἐμοῖς διὰ τὴν κατὰ λέξιν σαφήνειαν καὶ τὸ περίστροφον τῆς ἐκθέσεως. «οὐ μόνον 95
δέ, φησὶν ὁ Μακρός, ἐκεῖνο τὸ γράμμα τῆς εἰςέπειτα περὶ ἐμὲ φροντίδος ἀπήλλαξε τοὺς ἐμούς, ἀλλὰ καὶ δικαστῇ πολιτικῷ προσελθόντες καὶ τὰ συμβάντα ἐξηγησάμενοι ψηφίσματι ἐκείνου ἐνυπογράφῳ τὴν ἑξῆς ἀσφάλειαν ἐπορίσαντο. καὶ ὁ ταύτης πατήρ, ὁ δεινὸς ἐκεῖνος καὶ πονηρός, τῆς ἐλπιζομένης θήρας ἀποτυχών, χάρτην καὶ ἄκων ἐξέθετο, περιποιούμενόν 100
μοι τὸ εἰς τὸ ἔμπροσθεν ἄφροντι καὶ πᾶσαν ἐμοὶ παρέχοντα τὴν ἀσφάλειαν»· ταῦτ' εἶπε· καὶ τοῦ συκοφαντικοῦ γυναίου καταμωκώμενος ὡσανεί, εἰς ἀναψηλάφησιν τοῦ λεγομένου ταύτης ἀνδρός, παρέπεμψεν εἰς Ἀνατολήν.

13 [67] *ἐκείν(ων)* — [70] *ὀπορϊμώτ(α)το(ς)* — [86] Ursprünglich *καταψησαμ(ένου)*, nachträglich *καταψηφϊσαμ(ένου)* korrigiert

ἡ δὲ ἡ γυνὴ ἀσχάλλουσα ὥσπερ καὶ τῆς κατὰ τοῦ Μακροῦ προσελεύσεως
105 καὶ τῆς εἰς ἡμᾶς ἐνοχλήσεως ἡμαρτηκέναι τὰ εἰς αὐτὸν λόγον τελευταῖον εἰποῦσα καὶ ἑαυτὴν καὶ ἡμᾶς πραγμάτων ἀπήλλαξε, οἳ οὐδὲ ὅλως ἐμέλλομεν δοῦναι ὠτίον τῇ γυναικί, ἅτε τοῦ Μακροῦ ὑπερορίου τυγχάνοντος κληρικοῦ καὶ παρὰ τῷ ἐπισκόπῳ αὐτοῦ ὀφεῖλόν τι κινηθῆναι τῶν ὡσανεὶ κατ' αὐτοῦ, διὰ δὲ τὸ κατὰ Ναύπακτον τὴν ἐμὴν καὶ ἐπὶ τῶν ἐμῶν κληρι-
110 κῶν καὶ λαληθῆναι καὶ λυθῆναι τὰ ὅσα καὶ ἀντετάχθησαν, καὶ ἐγράφησαν ταῦτα καὶ ἐσημειώθησαν καὶ εἰς ἀφροντισίαν τῷ Μακρῷ ἐπεδόθησαν. μηνὶ καὶ ἰνδικτιῶνι τοῖς προγεγραμμένοις. +

14

+ Σημείωμα + Bl.

Ὁ ἀπὸ τῆς νήσου Λευκάδος Βασίλειος ὁ Καλίγης ἐλθὼν εἰς ἡμᾶς, || Bl. ἐξηγήσατο· ἡ τούτου, φησί, φαμιλία θεωρουμένη ὅλη ἐν τῇ γυναικὶ αὐτοῦ, τῷ υἱῷ αὐτοῦ Κωνσταντίνῳ, τῇ γυναικὶ αὐτοῦ Παγκαλὼ καὶ τῷ Βα-
5 σιλείῳ αὐτῷ, εἰς ἔριν ἦλθε καὶ φιλονεικίαν ἐκ τοῦ τυχόντος· ἡ πενθερὰ δὲ μάλιστα ὡς ἤκουσται κατὰ τῆς νύμφης αὐτῆς, ὅτι ὁ ταύτης υἱὸς ἔρωτα ἔκτοπον τῇ Παγκαλῷ ἐρασθεὶς εἰς γυναῖκα ταύτην ἠγάγετο, τῶν αὐτοῦ γεννητόρων οὐ τελείως ἐπὶ ταύτῃ ἀρεσκομένων. ἔτυχε δέ, φησίν, τὸν τούτου υἱὸν αὐτίκα τῆς οἰκίας ἀπόδημον, ὃς καὶ ἐπανελθὼν καὶ τὴν
10 Παγκαλὼ εὑρὼν σκυθρωπάζουσαν, διὰ τὴν τῆς πενθερᾶς ἐπὶ ταύτῃ βαρύτητα, ἠνιάθη τε ὡς εἰκός, «καὶ εἰ διὰ ταύτην, ἔφη, ἐγὼ κοπιῶ, ἡ δὲ πολυτρόπως κακοῦται ὑπὸ τῶν ἐμῶν γεννητόρων καὶ λογίζεται ὡς περίψημα, συμφέρει καὶ αὐτὸν ἐμὲ τὰ χείριστα πεπονθέναι, ἢ τὴν ἐμὴν γυναῖκα ὁρᾶν δυσκόλως οὕτω καὶ βαρέως πάντοτε ἔχουσαν». ἐκ τούτου τῇ ἰδίᾳ γυναικὶ
15 ὁ Βασίλειος ἀμύνων ὅλος ἐγένετο κατὰ τοῦ υἱοῦ. καὶ ἐκ τούτων τῶν λόγων καὶ ἐξ ἐκείνων τῶν ἀντιλόγων εἰς θυμὸν κατὰ τοῦ υἱοῦ ὁ πατὴρ ἐκινήθη, οἷα πατήρ· καὶ σωφρονίζων δῆθεν αὐτὸν καὶ ἀναστέλλων τοῦ τῷ πατρὶ αὐτῷ ἀντιφέρεσθαι, λίθον ἄρας ὅσον ἐχώρει ἡ χείρ, τοῦ ἰδίου υἱοῦ κατηκόντισε· καὶ τυχὼν αὐτοῦ περὶ τὸν μήνιγγα εὐθύωρον ἀνεῖλεν αὐτόν. καὶ
20 εἶδεν ὁ ἥλιος καὶ ἐν ταῖς ἡμετέραις ἡμέραις τὸν Βασίλειον τοῦτον πατέρα τεκνοκτόνον καὶ τῶν οἰκείων σπλάχνων πολέμιον· καὶ ὡς μὲν φονεὺς ἑκούσιος τοῖς προσήκουσιν ἐπιτιμίοις καθυπεβλήθη, ὡς δὲ καὶ πατρὶ παιδοκτόνῳ τῷ Βασιλείῳ ὁ τῶν ἐπιτιμίων ἐπηυξήθη τούτῳ καιρός. καὶ ὀφείλει ἐπὶ πενταετίᾳ ὅλῃ, ἀρχομένῃ ἀπὸ τῆς ιε' τοῦ ἐνεστῶτος αὐγούστου τῆς
25 παρούσης ιε' ἰνδικτιῶνος, ταῦτα πληροῦν, τὸ στῆναι τέως ἐν τῷ προνάῳ τοῦ ἐκεῖσε ἐπισκοπικοῦ ναοῦ ἐν ἀκαλύπτῳ τῇ κεφαλῇ ἐπὶ τρισὶ κυριακαῖς

13 [108] ὀφείλοντϊ

14 [1] Das Wort auf dem äußeren Rand — [4-5] καὶ τῶ κῶν' αὐτῶ (sicher Verschreibung)

καὶ ἀναφωνῆσαι πρὸς τοὺς εἰςιόντας καὶ ἐξιόντας τὸ «εὔξασθε καὶ συγχωρήσατέ μοι τῷ ἐγκληματικῷ», τὸ ἀπέχεσθαι τῆς ἁγίας κοινωνίας ἐπὶ τοῖς ῥηθεῖσι πέντε ἐνιαυτοῖς, εἰ μή που ἐν τελευταίαις ἀναπνοαῖς γένηται, τότε γὰρ τοῦ ἀγαθοῦ ἐπιτεύξεται ἐφοδίου, τὸ μὴ μεταλαμβάνειν κρέατος 30 *καὶ τυροῦ καὶ ᾠοῦ ἐπὶ τοῖς ῥηθεῖσιν ἐνιαυτοῖς, τὸ κατὰ πᾶσαν τετραδοπαρασκευὴν ἄρτῳ μόνῳ καὶ ὕδατι ἀποζῆν, ἐν δευτέραις καὶ τρίταις λάχανα καὶ ὄσπρια ἐσθίειν μετὰ ἐλαίου, ἐν πέμπταις αὐτά τε ταῦτα ἐσθίειν καὶ οἶνον πίνειν, ἐν σάββασι δὲ καὶ κυριακαῖς καὶ ἰχθυοφαγεῖν καὶ οἶνον πίνειν, καθ' ἑκάστην ἡμέραν γονυκλισίας ποιεῖν ἀπὸ γῆς ρ' καὶ ἐν ἑκάστῃ* 35 *ἐπιφωνεῖν τὸ «ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με», ἄνευ τῶν σαββάτων καὶ κυριακῶν καὶ τῶν δεσποτικῶν ἑορτῶν, ἐν αἷς γόνυ κλινειν οὐ προστετάγμεθα, ἐν τῷ δωδεκαημέρῳ δὲ καὶ τῇ ἑβδομάδι τοῦ πάσχα ἄνευ κρέατος καὶ τυροῦ καὶ ᾠοῦ τὰ λοιπὰ προσίεται βρώματα καὶ πίεται οἶνον. πρὸ δὲ τῶν ἐπιτιμίων ἁπάντων συντριβὴν ψυχῆς καὶ σώματος ἐπι-* 40 *δείξεται καὶ πενθῶν καὶ σκυθρωπάζων πορεύσεται καὶ τὴν παιδοκτονίαν νυκτὸς ἀποκλαύσεται καὶ ἡμέρας, ἵνα καὶ τὸ ἁμάρτημα ἐξαλείψῃ καὶ τὴν θείαν εὐμένειαν πρὸς ἑαυτὸν ἐκκαλέσηται. μετὰ μέντοι τὴν ἀπαρίθμησιν τῶν δηλουμένων ἐνιαυτῶν ἐπανελεύσεται πρὸς τὴν Ναύπακτον καὶ τῷ τῆς ἡμέρας ἐπισκόπῳ ἐμφανισθεὶς τὴν τῶν ἐπιτιμίων δέξεται λύσιν. μηνὶ* 45 *καὶ ἰνδικτιῶνι [ι]ε'.*

15

Bl. 53 b

[Ohne Überschrift.]

+ Θεοσεβέστατοι κληρικοὶ τῆς καθ' ἡμᾶς ἁγιωτάτης ἐκκλησίας Ναυπάκτου. ἐὰν μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν φησιν ἐν εὐαγγελίοις ὁ κύριος, οὐδὲ ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος ἀφήσει τὰ παραπτώματα ὑμῶν. καὶ πολλὰ τοιαῦτα συγχωρήσεως ῥήματα, ὁ ἐρευννητικὸς εὑρήσει ἐν τῇ τοῦ ἁγίου εὐαγγελίου περιοχῇ· Παῦλος δὲ ὁ μέγας τοῦ Κυρίου 5 *ἀπόστολος τὸν ἐν Κορίνθῳ πεπορνευκότα εἰς τὴν αὐτοῦ μητρυιὰν τῷ Σατανᾶν παραδοὺς εἰς ὄλεθρον τῆς σαρκός, ἵνα μὴ ἀσχημονῇ, φησίν, ὁ τοιοῦτος, ὕστερον Κορινθίοις γράφει κυρῶσαι εἰς αὐτὸν ἀγάπην, ἵνα μὴ τῇ ἀμετρίᾳ τῆς λύπης καταποθῇ ὁ τοιοῦτος· Δαβὶδ δὲ ὁ θεῖος πρὸ τοῦ με ταπεινωθῆναι φησὶν ἐγὼ ἐπλημμέλησα, ταπεινωθεὶς δέ, τὸ λόγιόν* 10 *σου ἐφύλαξα· καὶ ἀλλαχοῦ δέ, ἐταπεινώθην, φησί, καὶ ἔσωσέ με ὁ Κύριος. καὶ τὰ μὲν θειόγραφα ταῦτα· ἐπεὶ δὲ καὶ ἡμεῖς καὶ πρὸς θεὸν καὶ εἰς ἀλλήλους ἁμαρτάνομεν καθ' ἡμέραν καὶ δεόμεθα συγχωρήσεως,*

[Die Fortsetzung nicht vorhanden.]

16

[Ohne Überschrift.]

Πολλαὶ τῶν ἐρωτηματικῶν ὑποθέσεων καθ' ἑαυτὰς θεωρούμεναι δοκοῦσι Bl. 54
τοῖς ἀνακρίτως ἐπισκεπτομένοις αὐτὰς μηδένα προκριματισμὸν ἐπισύρεσθαι. αὗται δὲ καθ' ἑαυτὰς σκοπούμεναι καὶ ἐξεταστικώτερον ἀνακρινόμεναι ἀναφαίνουσι τὸ ταύταις ἐγκεκρυμμένον ἁμάρτημα. ἱερεὺς γάρ τις ἐκ Πατρῶν,
5 *γενόμενος ἐν Ναυπάκτῳ, τοιοῦτον ἡμᾶς ἠρώτησε τὸ ἐρώτημα. ἀδελφοὶ δύο, φησί, καὶ δύο ἀδελφαὶ ἐξ ἑτέρων γενῶν παρὰ τὴν Πάτραν εἰσί. τούτων ὁ εἷς πορνικῶς συνεφθάρη τῇ μιᾷ τῶν γυναικῶν αὐταδέλφων· ἡ ἄλλη δὲ ἀδελφὴ παιδίον θῆλυ ἀπέτεκεν καὶ ζητεῖται παρὰ τοῦ ἀδελφοῦ τοῦ φθείραντος τὴν θείαν αὐτῆς. ὡς συμβαίνει, εἰ γένηται, δύο ἀδελφοὺς*
10 *θείᾳ καὶ ἀνεψιᾷ μιγῆναι· καὶ ἔστι πέμπτου βαθμοῦ καὶ παρὰ τῶν νόμων κεκώλυται. ὁ δὲ γνοὺς τὴν θείαν τῆς ζητουμένης τὶ λογίζεται πρὸς αὐτήν; ἢ τάχα θεῖος διὰ τὴν πρὸς τὴν θείαν αὐτῆς μῖξιν. καὶ μή τις προφερέτω εἰς μέσον, ὅτι τὸ λάθρα γινόμενον οὐκ ἐπάγει τῷ συναλλάγματι κώλυσιν. ἢ γὰρ ἂν λοιπὸν καὶ ἀνεύθυνον, ἀλλ' ἡ μῖξις κἂν ἔννομος κἂν παράνομος*
15 *ὅμως ἑνοῖ τὰ πρόσωπα καὶ οὐ χρὴ γενέσθαι. μηνὶ καὶ ἰνδικτιῶνι.*

17

[Ohne Überschrift.]

+ *Ἅγιοί μου δεσπόται καὶ ἐν κυρίῳ ἀγαπητοὶ ἀδελφοὶ καὶ συλ-* Bl. 57
λειτουργοὶ Ἀετοῦ, Ἀχελώου, Βοθρωτοῦ καὶ Ἀδραγαμέστου. ἐμὲ ὁ θεὸς διὰ τὰς ἀμέτρους μου ἁμαρτίας παιδεύει παιδεύσεις μεγάλας καὶ ἐπωδύνους· καὶ τὰς μὲν ἄλλας οἶδα μόνος ἐγώ, ὁ ὑπομένων τὰς ἐξ αὐτῶν ἀλγη-
5 *δόνας, καιρὸς δέ, ἀφ' οὗ πάθος ἐνσκῆψαν τοῖς δυσὶ γόνασί μου ἀποδιαιρεῖ ταῦτα τοῦ λοιποῦ σώματος. ἐντεῦθεν οὔτε ὕπνος παρ' ἐμοὶ οὔτε καθέδρα ἐπὶ γλουτῶν, οὔτε στοφὴ εἰς δεξιά, εἰς ἀριστερά, ἀλλὰ μόνον ὑπτία κατάκλισις καὶ πόνοι γονάτων τὴν ψυχήν μου ἐξέλκοντες. διὰ ταῦτα ἔσχον ἀδυνάτως ἕως δεῦρο ‖ τὰς χειροτονίας ποιῆσαι τῶν ὑποψηφίων Βον-* Bl. 58
10 *δίτζης τε καὶ Βελᾶς, ἀλλ' οὐδὲ εἰς ἔμπροσθεν ἔχω ἐλπίδα τοῦ πάθους τούτου ἀπαλλαγῆναι ἢ ἐπισκοπικόν τι διενεργῆσαι. συνελθόντες οὖν ὑμεῖς ἐν ᾧ δοκιμάσετε τόπῳ, εἴτε δηλαδὴ ἐν τῇ ἁγιωτάτῃ ἐπισκοπῇ Ἀχελώου εἴτε ἐν τῇ κατὰ τὸ Ἀνατολικὸν σεβασμίᾳ μονῇ τῆς ὑπερενδόξου δεσποίνης ἡμῶν θεοτόκου τῆς Μυροδοτούσης, ποιήσατε τὰς χειροτονίας καὶ τοῦ*
15 *Βονδίτζης καὶ τοῦ Βελᾶς. καὶ πρῶτον μὲν ἀσπασάσθωσαν κατὰ τὴν ἐν τοῖς τοιούτοις συνήθειαν εἶτα καὶ χειροτονηθήτωσαν. καὶ τὸν ἐμὸν ἀναπληρωσάτω τόπον ὁ ἱερώτατος Ἀετοῦ ὡς καὶ τοῦ τόπου ἐπίσκοπος καὶ θρόνον λαχὼν ὑψηλότερον. καὶ ὁ θεός, ὁ πληρωτὴς καὶ δοτὴρ παντὸς ἀγαθοῦ, συμπράξοι ὑμῖν ἐπὶ ταῖς τοιαύταις χειροτονίαις καὶ τὴν κραταιὰν*
20 *αὐτοῦ χεῖρα ἐκτείνας ἐξ οὐρανοῦ ἅψαιτο τῶν κεφαλῶν τῶν χειροτονηθῆναι*

πρόσωπα ἡ νομικὴ διάταξις αὕτη τῶν ἐξουσιαζόντων προυτέθεικε, πάν- 5
ταχοῦ καὶ ταῦτα ἐν πολλοῖς τοῦ ἐξουσιάζοντος κατὰ τὴν τῆς ἐξουσίας
ὑπεροχὴν τοῦ ὑπ᾽ αὐτοῦ ἐξουσιαζομένου προτιμοτέρου ὄντος καὶ μείζονος.
ἔοικε δέ, [ὡς] οἱ γαμικῶς συμπλεκόμενοι μία γίνονται σὰρξ διὰ τῆς ἐρωτικῆς
ἀνακράσεως· ἔρως δὲ οὐ καθαυτὸν συνίσταται καὶ μονομερῶς, ἀλλὰ
πρός τι ἐρώμενον· ἄῤῥεν δὲ καὶ θῆλυ ἐνταῦθα, γένη φυσικῶς ἀντερῶντα 10
ἀλλήλων καὶ ἀντοργῶντα πρὸς ἄλληλα, γάμος δὲ δεσμὸς αὐτοῖς συμβιώ-
σεως καὶ συμπαρέκτασις χρονικὴ τῆς τῶν συναπτομένων ζωῆς. τούτου
χάριν, ἐγῷμαι, οἱ συναπτόμενοι, πρῶτοι τῇ ἑαυτῶν συναινέσει τοῖς σφε-
τέροις γάμοις τὸ κῦρος προςνέμοντες, τῶν ἐξουσιαζόντων ἐν τοῖς τοιούτοις
προτίθενται καὶ ἄλλως. ὅμως οἱ μέν, λόγῳ μόνῳ συνευδοκοῦντες, εὐθὺς ἀπαλ- 15
λάσσονται, οἱ δέ, τὸ ἄῤῥηκτον οὗτοι ἐκ τοῦ γαμικοῦ δεσμοῦ κατακτώμενοι,
καὶ τοῦ βίου καὶ τῆς ζωῆς ἐπικοινωνοῦντες διὰ τοῦ τοιούτου δεσμοῦ τῶν
ἁπλῶς λαλούντων προλέγονται, ὡς τοιῶσδε συνεῖναι καὶ ὁμοψύχως διαβιοῦν
παρὰ τῶν γάμων ἀναγκαζόμενοι. ἐκ δὲ τούτων καὶ τῶν τοιούτων, ἐάν που
κατὰ βίαν ἑνὸς τῶν προσώπων ἢ καὶ τῶν δύο συστῇ συνοικέσιον, κατὰ 20
τοὺς ἄνωθεν λόγους, οὐκ ἐῤῥῶσθαι τοῦτο συγχωρηθήσεται· τὸ γὰρ ἐναντίως
προβὰν τῷ γινομένῳ κατὰ συναίνεσιν πῶς ἢ γάμος ὀνομασθήσεται ἢ
συστήσεται; ἡ γὰρ ἐναντίωσις εὐθὺς ἀρχὴ διαστάσεως· καὶ ποίαν ἐλπίδα
δώσουσι πρὸς τὸ ὁμόπνουν καὶ πρὸς τὸ σύμβιον οἱ ἐξ ἀρχῆς αὐτῆς ταῖς
θεληματικαῖς μὴ συνερχόμενοι καταθέσεσιν; ὡς γοῦν, ἀφεμένους τοῦ συλ- 25
λογίζεσθαι καὶ τοῦ προλέγειν ἐφ᾽ ἱκανόν, γυμνὴν εἰπεῖν τὴν ὑπόθεσιν,
ἐπράχθη κατὰ Μάλαιναν ἀκούσιον συνοικέσιον ἐπὶ Ἰωάννῃ ἀναγνώστῃ τῷ
..... καὶ γυναικὶ προβεβηκυίᾳ ἐν ταῖς ἡμέραις αὐτῆς κἀκ τῶν ὀρεινοτέρων
τῆς Βελαχατουΐας ὁρμωμένῃ μερῶν, καθ᾽ ἃ δηλοῖ καὶ τὸ ὄνομα· Ῥουσὰ
γὰρ κλῆσις αὐτῆς ἡ ἐκ βαπτίσματος. ἡ δὲ Ῥουσὰ καὶ ὁ ἀναγνώστης 30
ὑπὸ μίαν χεῖρα τελοῦντες τῆς πρωτευούσης ἐν τῇ Μαλαίνῃ κυρᾶς Θεο-
δώρας τῆς τοῦ Ἰνδανοῦ. γυνὴ δὲ αὕτη δριμεῖα καὶ ἐν παραλόγοις μᾶλλον θε-
ληματαίνουσα τὴν ἔξωρον ταύτην καὶ ὡς τὰ ἀρτιγενῆ ὀλίγου δεῖν ἀνοδόντωτον,
βάρβαρόν τε καὶ οὐκ ὀρθῶς ἑλληνίζουσαν, τῷ ὀκτωκαιδεκάτῳ ἀναγνώστῃ
συνῆψε, τὸ σύμπαν τούτου ἀκουσιάζοντος. καὶ δῆλα ταῦτα ἐξ ὧν τε φυλακῇ 35
ἐνεκλείσθη, ὡς τὸ συνάλλαγμα μὴ καταδεχόμενος, καὶ ἐξ ὧν οἱ τοῦ τόπου
πρεσβύτεροι, τὴν βίαν καταμαθόντες καὶ τὸ τοῦ ἀναγνώστου ἀκούσιον,
οὐδεὶς ἐξ αὐτῶν τὰ ἱερολογικὰ ἐπ᾽ ἐκκλησίας αὐτοῖς ἀνεφώνησεν, ἀλλ᾽ ἕτε-
ρος ἐξ ἐπαρχίας ἑτέρας παρὰ τῆς τῶν τοιούτων ἀθέσμων ἐργάτιδος
προςκληθείς. ἀλλ᾽ ἅμα τε ἡ βιαία ἱερολογία ἐξετελέσθη καὶ σκότος νυκτε- 40
ρινὸν τῇ γῇ κατεσκέδαστο, ἡνίκα ὁ Ἰωάννης συγκαθευδῆσαι τῇ γαμετῇ
καὶ κατὰ χρόνον μάμμῃ ἠλπίζετο, καὶ ἅμα τοὺς τῶν ἁπάντων λαθὼν

19 [8] [ὡς] mein Nachtrag — [27] *μάλαιν(αν)* — [28] ..... Ort für ungefähr fünf Buchstaben leer geblieben, worin der Zuname der betreffenden Person geschrieben werden sollte — [33] *ἀνοδόντωτϊ* — [36] *τοῦτότε* — [42] *μάμμην*

ὀφθαλμούς, περὶ τύμπανα καὶ χοροὺς ἐχόντων αὐτίκα καὶ τὰς ἐπιγαμίους ᾠδάς, τοῦ τε || νυμφῶνος ἀπέδρα καὶ ἐξ ἐκείνου ἕως καὶ δεῦρο ἄλλο- Bl. 65 b
45 *τε ἄλλῳ ὑπηρετῶν καὶ διακονούμενος, τὴν ἔξωρον νύμφην ἄνυμφον καταλέλοιπε· καὶ ἀπὸ χειρεργασίας ἰδίας πορίζεται τὴν ζωήν· διπλῆν δὲ ὅμως ἐπάγει τῇ ἐκκλησίᾳ ἐρώτησιν, εἴ γε χρὴ ἀγαγέσθαι ἑτέραν καὶ κατ' αὐτὸν νεάζουσαν καὶ ὡς αὐτὸν ἑλληνίζουσαν καὶ εἰ μὴ τὰ εἰς ἱερωσύνης προκοπὴν κεκώλυται. καὶ εἴπομεν, ὡς καὶ γυναικὶ συναφθήσεται καὶ εἰς ἱερέα προ-*
50 *βήσεται· τὸ γὰρ ἐξ ἐπηρείας προβὰν οὐκ ἐμποδισμὸς αὐτῷ πρὸς ἀμφότερα· εἰ γὰρ τὸ κατὰ θέλησίν τινος καὶ ὄν ἐστι καὶ ὑπάρχον πρᾶγμα λογίζεται, τὸ μὴ κατὰ γνώμην, μηδὲ κατ' ἀρέσκειαν καὶ καταδοχὴν ψυχῆς τελεσθέν, πάντως, καὶ ὡς μὴ ὂν κριθήσεται καὶ ἀνύπαρκτον. τὸ δὲ τοιοῦτον πῶς τοῦ ἐν καταθέσει καὶ ὑπαρκτοῦ προκείσεται εἰς ἐμπόδιον; ἐκ τοῦ πλείονος*
55 *δέ, ἐὰν ὁ ἐν ἀνηβότητι ἄνθρωπος ἢ γυναῖκα γήμῃ ἢ ἀνδρὶ συζυγήσηται, κατὰ γνώμην ἄμφω ἑκούσιον, καὶ παῖδας ἐκτέκωσι, διὰ τὸν ἐν ἀνηβότητι γάμον τοῦ συνοικεῖν ἀποτέμνονται, ἔτι μᾶλλον ὁ μὴ καταθέμενος γνώμῃ, ὁ μὴ ἑτέρῳ τινὶ συναφείᾳ, δηλονότι φιλήματι ἐμπαθεῖ γενόμενος ἔνοχος, κατὰ πᾶσαν ἄδειαν τῆς οὕτω συναφθείσης αὐτῷ διαστήσεται καὶ εἰς ἱερω-*
60 *σύνην προβήσεται. μηνὶ καὶ ἰνδικτιῶνι.*

20

[Ohne Überschrift.] Bl. 65 b

Θεοσεβέστατοι κληρικοὶ τῆς ἁγιωτάτης μητροπόλεως Κερκύρας καὶ ἐν Χριστῷ ἀδελφοί. τὰ ἐμφερόμενα τῇ ἐντὸς ὑμετέρᾳ γραφῇ οὐκ ἔφθασε πεσεῖν εἰς ἀκρόασιν τῆς ἱερᾶς πνευματικῆς ἀδελφότητος· ἐκτελέσαντες γὰρ τὸ δι' ὃ συνήλθοσαν, ἕκαστος πρὸς τὴν ἑαυτοῦ παροικίαν παλίνστροφος
5 *γέγονε. καὶ ἦν ἂν καλόν, εἴ γε, προλαβόντος τὴν ἀποδημίαν τῶν συνελθόντων τοῦ παρόντος ὑμετέρου συγκληρικοῦ, ἔπεσεν εἰς κοινὴν ἀκρόασιν τὰ παρ' ὑμῶν τῷ χάρτῃ τούτῳ καταγραφέντα, ὡς τῷ ἀξιωματικῷ τῆς συνοδικῆς ἀποκρίσεως ἐμφραγῆναι τὰ στόματα τῶν ἀπειθούντων πρὸς τὰ τῇ καθ' ὑμᾶς ἐκκλησίᾳ παρ' αὐτῶν ὀφειλόμενα. ἐμοὶ δὲ μόνῳ περιτυχὼν ὁ στα-*
10 *λείς, ἅτε καὶ νοσήματι καὶ νοσοῦντι καὶ κατακειμένῳ ἐν Ἄρτῃ, καὶ τὴν κοινὴν ὑμετέραν ἀναφορὰν ὑπέδειξε καὶ τὸν ἰδιαζόντως ἐκτραγῳδοῦντα χάρτην τὰ πάθη τῶν ὑμετέρων συγκληρικῶν. ὅθεν καὶ μονομερῆ ταύτην ||* Bl. 66 a
γνώμην ἐμὴν ἐκφέρω καὶ ἀποκρίνομαι καὶ δικαίῳ καὶ Πριμμικηροπούλοις αὐτοῖς καὶ τῷ κατ' οἶκον αὐτοῖς ὑπηρετικῷ καὶ τῇ ἀγροικικῇ παροικίᾳ,
15 *ἐν ᾗ τὸ ἄθεσμον ἐπράχθη καὶ τὸ ἀκάνονον, πᾶσαν θύραν τῶν αὐτόθι ναῶν ἐπιζυγωθῆναι καὶ τῆς ἐκκλησίας τούτους ἀποκοπῆναι, ὡς ἀθεμίτων ἔργων καὶ διδασκάλους καὶ πρωτουργούς. εἰ μὲν οὖν ἐκ τῶν ἐπιτιμίων*

19 [55] *ἀνανηβότητι*

τούτων συνιέντες μεταβαλοῦνται καὶ τὰ τῆς ἐκκλησίας εὐγνωμόνως καταβαλοῦνται, ὑπέμεινε τὸ εἰς αὐτοὺς συμπαθὲς εἰς τὴν διάκρισιν τοῦ καλοῦ ποιμένος ὑμῶν. εἰ δ' ἀποτραχύνονται πρὸς τὴν ἐπιτίμησιν καὶ ἐπὶ τῷ 20 *δικαίῳ ταύτης βαρυθυμοῦντες ἀναισχυντότεροι γίνονται, καὶ τῷ πρὸς πάντας ἀπροσαυδήτῳ καὶ τῷ ἀκολούθῳ ἀκοινωνήτῳ ἡ ἐκκλησία τούτους ὑποβαλέτω· αἰσχρὸν γὰρ καὶ κοινῇ ἐγὼ καλῶ ἐκκλησιαστικῶν δικαίων ἀθέτησιν τὸ μὴ ἐν ἄλλῃ παροικίᾳ πραττόμενον αὐθαδῶς καὶ ἀναισχύντως ἐν τῇ Κερκύρᾳ μόνῃ παῤῥησιάζεσθαι. ἡ μὲν οὖν ἐμὴ γνώμη καὶ κρίσις αὕτη.* 25 *τὸν δὲ τῆς νήσου ταύτης ἀνέφελον ἥλιον, τὸν ὑμέτερον λέγω καὶ διδάσκαλον καὶ ποιμένα, ἐν τούτῳ τέως οὐκ ἄκαιρον ἀποῤῥῖψαι τὸ εὐλαβὲς καὶ τὸ συμπαθές, ὡς μὴ καὶ ἄλλοι ζηλώσαντες τοιούτοις ὁμοίοις ἔργοις ἐπιχειρήσουσιν. ἔῤῥωσθε ἐν θεῷ τῇ τούτου φυλαττόμενοι χάριτι.*

21 — 22

Bl. 66 a

+ *Ἐρώτησις τοῦ Βελᾶς.* +

Δέσποτά μου ἅγιε, γυνή τις, καταλειφθεῖσα ὑπὸ τοῦ ἀνδρὸς αὐτῆς ἐπὶ ἑπτὰ ἤδη ἔτεσι, ζητεῖ ἑτέρῳ συναφθῆναι, ὡς τοῦ τοιούτου ἀνδρὸς αὐτῆς ἐν τῇ Πρέσπῃ ἀποδημήσαντος καὶ ἄλλην ἐκεῖ γήμαντος. ὅθεν καὶ πολλάκις καὶ διαφόρως, ὥς φησιν, ἀναζητήσασα τοῦτον, ἀνεκαλέσατο μὲν καὶ πρὸς 5 *ἑαυτὴν ἐπανήγαγε βιαιότερον, πλὴν ὅπερ φιλεῖ συμβαίνειν ἐπὶ τῶν κλάδων τῶν μετακλινομένων ἀναγκαστῶς, τοῦτο καὶ ἐνταῦθα συνέβη. ἔνθέν τοι καὶ ἡ γυνή, ἀπειπομένη τοὺς πρὸς ἐκεῖνον ἐς τὸ παντελὲς ἔρωτας, πρὸς ἄλλον τὸν νοῦν ἔτρεψε καὶ τούτῳ προσκολληθεῖσα ἐκθέσμως συμφθείρεται. αἰτῶ γοῦν τὴν μεγίστην ἁγιωσύνην σου δοθῆναί μοι ἀπόκρισιν διασαφοῦσάν* 10 *μοι τὸ ποιητέον ἐπὶ τῇ τοιαύτῃ ὑποθέσει. διαποροῦμαι γὰρ τί ἄρα καὶ δράσαιμι, μετερχόμενος μὲν τὰ διαγορευόμενα κανονικῶς ἐφ' ὁμοίοις τῷ μεγάλῳ πατρὶ Βασιλείῳ, κατανοῶν δὲ τὸν τοῦ διεσπασμένου ἀνδρογύνου σκοπὸν μὴ συμβησόμενον πώποτε. ὑπόθου μου γοῦν διὰ τῆς ἀντιλήψεώς σου τὸ πρακτέον.* 15

Ἀπόκρισις πρὸς ταῦτα τοῦ μητροπολίτου [*Ναυπάκτου Ἰωάννου τοῦ Ἀποκαύκου*]

Περὶ οὗ δὲ ἠρώτησας, ἔχεις διδάσκαλον τὸν μέγαν Βασίλειον λέγοντα ἐν λῑ κανόνι: ἡ τῷ μοιχῷ συζῶσα μοιχαλίς ἐστι πάντα τὸν χρόνον. τὸ δὲ πάντα λέγειν δῆλον, ὡς καὶ ἐὰν ἱερολογία προβῇ τὸ ἐπέκεινα τοῦ μετὰ 20 *τὴν ἱερολογίαν καιροῦ οὐκ ἔξω τοῦ πάντα ἐστίν. οὐ γὰρ περικόπτει τὴν μοιχίαν ἡ εὐλογία. οὐδὲ μέχρι τοῦδε ταύτην συνίστησιν, ἀλλὰ τῇ ὅλῃ ζωῇ τῶν συνερχομένων συμπαρεκτείνεται· καὶ ἐν μῑ κανόνι τὴν παρὰ τοῦ ἀνδρὸς ἐγκαταληφθεῖσαν μένειν οὕτως ὀφείλειν διδάσκει· παράγει τὸν*

25 Κύριον λέγοντα: ἐάν τις καταλίπῃ γυναῖκα παρεκτὸς λόγου πορνείας ποιεῖ αὐτὴν μοιχᾶσθαι. εἰ μὲν οὖν καὶ ἡ περὶ ἧς ὁ λόγος, ἄζυξ μένειν ὀφείλει κατὰ τὸν κανόνα, εἰ δέ, σωφρονεῖν οὐ δύναται, ἀλλ' ἡμεῖς ἁμαρτίαις ἀλλοτρίαις κοινωνεῖν οὐκ ἐπιτρεπόμεθα. ἀργήσουσι δὲ καὶ τὰ τῶν πόρνων καὶ τὰ τῶν μοιχῶν ἐπιτίμια διὰ τὸ περὶ τὰ πάθη ταῦτα ἀνεγκρατές, ἀλλ' οὐ
30 παρὰ τοῦτο ἀνεύθυνοι, ὑπεύθυνοι δέ, ὅτι μὴ τῶν ὀρέξεων κατεκράτησαν. πῶς δὲ καὶ δύναμις ἔσται τῆς ἁμαρτίας ὁ νόμος, εἰ μὴ κολαστέα ἡ ἐκτροπή; τὸ δὲ παράπτωμα, εἰ μὴ γένηται, ἀδυναμίαν τῷ νόμῳ δίδωσιν, πραχθὲν δέ, δυναμοῖ τὸ γραφέν, τουτέστιν ἰσχύειν κατ' αὐτῆς ἡ πρᾶξις τὴν νομοθεσίαν ποιεῖ. ἐκ τούτων συλλόγισαι, διαστῆναι ἀπ' ἀλλήλων ὀφείλει καὶ τὰ πρός-
35 ωπα ταῦτα. εἰ δὲ μὴ δύνανται, ἀλλὰ τοὺς πονηρευομένους ἔκκοψον ἀπὸ σοῦ· κρεῖττον γὰρ τοῦτο ἢ τὸ συγκοινωνῆσαι ἁμαρτήματι ἀλλοτρίῳ. ἐγὼ δὲ παθαίνομαι μὲν ἐπὶ τοῖς τοιούτοις, τὸ ἀσθενὲς ἡμῶν ὑπολογιζόμενος, θέσθαι δέ τι τῶν κανόνων ἐπιπροσθοῦν ὀκνηρῶς ἔχω. εἰ γὰρ τὰ τοιαῦτα συγχωροῦμεν, ἐκείνοις ἐοίκαμεν, || οἳ τοὺς ἀκατασχέτους μὴ χαλιναγω- Bl. 66 b
40 γοῦντες τῶν ἵππων ἀφίασι τούτους ὡς θέλουσι φέρεσθαι. καὶ διδάσκειν μὲν ἐντελλόμεθα, καὶ οὐχ ἁπλῶς, ἀλλὰ καὶ μὴ ἀποκάμνειν ἐν τῷ διδάσκειν. εἰ δὲ κωφεύουσιν οἱ μαθητευόμενοι, ἡμῖν τέως τὸ τῆς διδασκαλίας τάλαντον ἐπεξέργασται. ἐξέτασον δὲ μή ποτε καὶ τῷ προτέρῳ ἀνδρὶ τὸ γύναιον συνοικοῦν εἰς πονηροὺς ἀπέβλεπεν ἔρωτας· καὶ εἰ οὕτως εὑρήσεις, ἐπὶ
45 τῷ κακῷ θεμελίῳ κακὴν αὐτὸς ὀροφὴν ἐπιθήσεις. περὶ μὲν τούτων, ταῦτα· καὶ σὺ δὲ αὐτὸς ἐν τῇ ἀναγνώσει προσέχων καὶ σεαυτὸν σώσεις καὶ τοὺς ἀκούοντάς σου.

23

Τοῦ αὐτοῦ ['Ιωάννου τοῦ 'Αποκαύκου] σημείωμα + Bl. 68 a

Πολλοὶ τῶν ἀνθρώπων, εἰμὴ καὶ πάντες, καὶ μάλιστα οἱ κατὰ τὰς ἔξω τῆς ποτὲ βασιλευούσης οἰκήτορες τὰς νομικὰς ἠγνόη[σαν ?]

[Die Fortsetzung nicht vorhanden.]

24

[Der Eingang fehlt.]

τελεσιουργίαν ἐπιτελεῖν, διὰ τὰ προγεγονότα, μὴ παρά τινος κωλυόμενος, Bl. 70 a μηδὲ τῆς πρός τινων ναῶν εἰσόδου εἰργόμενος· ἐπὶ τούτῳ γὰρ καὶ ἡ παροῦσα γραφὴ ἐπωρέχθη αὐτῷ· ἡ ἁγία εὐχή σου μεθ' ἡμῶν +

22 [26] οὖν 'Sόπε' — [46] ⁘ = δὲ? δ'?

24 [1] ἐπιτελεῖν; die drei letzten Buchstaben dieses Wortes wegen einer Lücke abhanden

25

Bl. 76 b

Σημείωμα +

Εὑρεθέντων ἡμῶν τὴν σήμερον ἐν τῇ κατὰ τὴν Ἄρταν σεβασμίᾳ μονῇ τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου τῆς Περιβλέπτου καὶ πολλῶν ἐκ διαφόρων χωρῶν συνηγμένων ἐν ταύτῃ καὶ προτεινομένων αἰτήματά τινα πρὸς τὸν πανυπερεντιμότατον ἐν μοναχοῖς κῦρ Κλήμεντα τὸν Μονο- 5 μάχον, παρῆσαν καὶ οἱ ἀπὸ Λευκάδος κατωτέρω δηλωθησόμενοι, συμπαρῆν δὲ τῷ πλήθει καὶ ὁ ἀπὸ τῆς χώρας κῦρ Μανουὴλ ὁ Λοῦβρος. καὶ οἷα ἐν ταῖς συνελεύσεσι τοῦ πλήθους φιλεῖ ἄλλα λέγειν καὶ διηγεῖσθαι καὶ τοῦτο ταῖς ἡμῶν ἐνέπεσεν ἀκοαῖς, ὡς ὁ Λοῦβρος οὗτος ἐνεργήσας πρὸ καιροῦ ἐν Λευκάδι ἐνεκλήθη παρὰ τῆς χώρας πρὸς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν 10 αὐθέντην καὶ βασιλέα· καὶ ἡ κατέγκλησις, ὡς παρεκέρδισεν ἐκ Λευκάδος νομίσματα τρικέφαλα ἱκανά. ἡμῶν δὲ πρὸς τὸν Λοῦβρον ἡμέρως καὶ φιλίως ἀποσκωψάντων διὰ τὴν τῶν νομισμάτων παρυποκράτησιν, αὐτός, ὡς ἔοικεν, εὐκαίρου ταύτης λαβόμενος ἀφορμῆς, κατεδυσώπει τὴν ἡμετέραν ταύτην εὐτέλειαν, τοὺς αὐτίκα παρόντας οἰκήτορας ἀπὸ τῆς Λευκάδος, περὶ τούτων ἐρω- 15 τηθῆναι. καὶ γενομένης τῆς ἐρωτήσεως ἀπὸ τῆς τοῦ Λούβρου βιαστικῆς παρακλήσεως, εἶπον οἱ ἄνδρες, ὡς ἡμεῖς καὶ οἱ λοιποὶ ἡμῶν συνοικήτορες ἐποιησάμεθα μὲν ἀναφορὰν πρὸς τὴν βασιλικὴν καὶ θείαν περιωπήν, ἀλλὰ περὶ κεφαλαίων ἑτέρων, ἅπερ τὴν χώραν καταβαρύνοντα εἰς ἐξοικισμὸν αὐτὴν συνελαύνουσιν, ὡς πάντες εἰςακουσθῶμεν, καὶ εἰςακουσθέντες, ἐλεηθῶ- 20 μεν, καὶ ἐλεηθέντες, ἐκκοπήν τινα λάβωμεν τῶν ἐξ ἡμῶν ἀπαιτουμένων δημοσιακῶν καὶ διαφόρων πολιτικῶν ζητήσεων· ἀπὸ τοῦ Λούβρου δέ, οὔθ' ἡμεῖς, οὔθ' ἕτεροι ἡμῶν συνοικήτορες, ἐποιησάμεθα τὴν ἀναφοράν· οὐδὲ γὰρ ἠδικήθημεν παρ' αὐτοῦ, οὐδὲ καινοτομίαν ὑπέστημεν, οὐδέ τι βλάβος ἕτερον οὐ μικρόν, οὐ μέγα ἐπηνέχθη παρὰ τοῦ Λούβρου ἡμῖν· ἀλλὰ παρ' ὅ- 25 λην αὐτοῦ τὴν ἐνέργειαν ὡς συνοικήτωρ ἐφ' ἡμῖν διετέθη, καὶ ὡς ὁμοπατρίους καὶ συνετήρησε καὶ ἀνέπαυσε. ταῦτ' εἶπον, καὶ ἐξ ἀξιώσεως τοῦ Λούβρου ἡ παροῦσα παρ' ἡμῶν ἐξετέθη σημείωσις καὶ ἐδόθη αὐτῷ. μηνὶ +

26

Bl. 4 b

Τῷ ['Αθηνῶν ἀπο]στείλαντος αὐτῷ ᾠοτάριχα ἑκατὸν καὶ ὄρυζα + +

Β[ρῶμα ἡμᾶς οὐ παρίστησι, ὑ]μεῖς οἱ τῶν οὐρανῶν φατε περὶ ἑαυτῶν, οἱ τὴν ἐπαινετὴν ἐγκράτειάν ἀ[σπασάμενοι] καὶ . . . . τες καθαρότητα (?), ὥς φησί που ὁ Νυσσαέων, τῇ ὀλιγαρκίᾳ τὴν τῶν ἀγγέλων ἀσιτίαν ἀπομιμούμενοι . . . . οὗπερ οὐδὲν ἀθλιώτερον ἡ γῆ τρέφει, ὅσα ταύτην ἐπιπνεῖ 5 καὶ πορεύεται. εἰπεῖν δὲ στάχυς . . . . τεκοῦσαν αὐτῷ τοιαύτην

25 [27] *εἶπε*
26 [1 2 3] In [ ] meine Ergänzungen — [1 2 3 5 6] Rasuren, bzw. Löcher in der Hs.

ψυχήν, ἕως τὸ λέμμα φορεῖ τὴν ἔξω ταύτην τοῦ σαρκίου περιβολήν. καὶ ὅμως θάνατος, ὁπόσα λαμπρὸς ἐτησίας, διακρίνει καρπόν τε καὶ ἄχνας, σῶμα δηλαδὴ καὶ ψυχήν. καὶ σκεπασμάτων δέεται καὶ τροφῶν, οἷς ἀρκεῖσθε ὑμεῖς
10 οἱ γνήσιοι τοῦ Παύλου ἀκροαταί, οἱ τὴν βιωτικὴν περίσσειαν ὡς ἐκ τοῦ πονηροῦ βδελυξάμενοι, τροφῶν δ' ἐκείνας προσίεσθε, ὁπόσαι μὴ σῶμα λιπαίνουσι, μηδὲ γεννῶσι κόρον, τὸν πατέρα τῆς ὕβρεως, ὡς τὸ ἐπιθυμητικὸν ἀγριαίνουσαι, ἀλλ' ὅσα συνιστῶσι μόνον τὴν συζυγίαν, ὡς μὴ λιμῷ λυθῆναι τὸν στοιχειακὸν σύνδεσμον, εἴ που τρέφεται καὶ ψυχὴ κατὰ τὸ ἐν εὐαγγε-
15 λίοις παράγγ[ελ]μα, μὴ μεριμνήσητε λέγον τῇ ψυχῇ ὑμῶν, τὶ φάγεται ἢ τὶ πίεται, ἀμέλει, καὶ ἀλιπῆ καὶ ἰσχνὰ πεπόμ[φαμέν] σοι τὰ βρώματα· ταῦτα δὲ ἰχθύων ᾠά, τάριχα, ἡλίου μὲν ἀκτῖνι ξηρά, ποιότητα δὲ ἀποβαλόντα τὴν φυσικὴν αὐτὴν ταύτην συνημμένην ὑγρότητα· τούτων δὲ ἀριθμὸς μεθ' ὅν τι πλέον οὐχ ὑπάρχει λαβεῖν, τὰ πάντα δὲ δίδυμα, καὶ μεμονωμένον
20 οὐδέν ἐστιν ἐν αὐτοῖς. καὶ ταῦτα οὐκ ἔξω θεωρίας, οἶμαι, καὶ ὑψηλότητος, ἀλλ' ἡλίου μὲν ἀκτῖνι ξηρά, ὅτι καὶ σὺ τῷ νοητῷ ἡλίῳ Χριστῷ πᾶσαν ἀπεξηράνθης βιωτικὴν πλαδαρότητα καὶ οὐδὲν διαῤῥέον ἔχεις οὐδὲ ὑγρόν. εἰ καὶ ἄλλως ξύλον ἐγὼ καλῶ σε ὑγρόν, ἱδρῶσιν ἀρετῶν πιαινόμενον καὶ ταῖς τοῦ πνεύματος ἀρδείαις διηνεκῶς ὑγραινόμενον, ὡς καὶ τὸ ξύλον Δαβίδ,
25 ὃ παρὰ τὰς διεξόδους τῶν ὑδάτων ἐκεῖνος φυτεύει. οὐκ οἶδ' ὁποῖον τοῦτο τὸ ξῦλον καὶ ὁποῖα τὰ ὕδατα, οἶμαι δὲ ἀνὴρ ὡς ἄρα καὶ σύ, ἐν ὑδραγωγοῖς ἱστάμενος ἀρετῶν καὶ τὸν καρπὸν τοῦ πνεύματος προβαλλόμενος, δν ἀριθμεῖ Παῦλος, ὃς ὡραΐζει καὶ τὸν ἐμὸν Ἀθηνῶν.

27

Τοῦ αὐτοῦ [Ἰωάννου Ναυπάκτου τοῦ Ἀποκαύκου] πρὸς τὸν κῦρ Δοκειανόν. + Bl. 4

Δύο μοι κατὰ ταὐτὸν θεὸς καὶ δαίμων ἐναντιότητας ἀπεκλήρωσαν, μᾶλλον δὲ δύο μοι χαριζομένου θεοῦ, πολέμιον ἐπ' αὐταῖς εὑρίσκω τὸν ἀντι-
5 κείμενον· θεὸς μὲν γὰρ δῶρον ἐδωρήσατό μοι μετὰ τῶν ἄλλων καὶ τοῦτο μέγα καὶ ὑψηλόν, παῖδας ὀρφανοὺς προσλαβέσθαι πολλοὺς καὶ τὸν νοῦν αὐτοῖς ἱεροψαλτικῶς ἀκονῆσαι καὶ εἰς ἡλικίαν προαγαγεῖν καὶ τῷ κλήρῳ τῆς ἐκκλησίας ἐντάξαι. οἱ δέ, ὅτι μισοῦσί με δωρεάν, τοῦτο δὲ τὸ παρὰ τῆς ἐναντίας μερίδος ἐμὸν ἀποκλήρωμα, καὶ σὺ ἂν εἴπῃς ὁ τῶν τοιού-
10 των ἀδέκαστος ἐταστής. ἀμέλει καὶ φεύγουσί με τόν, ὥς φησιν Εὐριπίδης, ἄοτρος αὐτοῖς γενόμενον ἔμπακα, ἀλλ' ὑπερτεροῦσα ἡ πρόνοια ἐπανασῴζει μοι τοὺς φυγάδας, καὶ τὸ δὴ θαυμαστόν, μετὰ σφοδρᾶς τῆς ἐπιποθήσεως, καθὰ καὶ τὸν χθὲς ἀποδράντα μὲν ἐμοῦ Θεόδωρον ἀναγνώστην καὶ τῇ σῇ σεμνότητι προσχωρήσαντα, ἑκοντὴν δὲ πάλιν ἐπανελθόντα καὶ τῶν

26 [15] [16] In [ ] meine Ergänzungen — Rasuren, bzw. Löcher in der Hs.
27 [11] ἄοτρο̄ς' αὐτοισ̄ γενόμν' ἔμπακα·

πατρικῶν ποδῶν ἐφαψάμενον καὶ τούτους πλύναντα μὲν δάκρυσιν, οὐκ ἐκμάξαντα || δὲ καὶ θριξί, συγχώρησιν δ' ὅμως τοῦ πλημμελήματος κατὰ τὴν πάλαι πόρνην ζητήσαντα. καὶ μέντοι καὶ προέλαβε τὴν αἴτησιν ἡ συμπάθεια· καὶ πῶς γὰρ οὐκ ἔμελλον, οὗ ἡ καρδία καιομένη ἦν ἐν ἐμοὶ διὰ τὴν αἴφνης καὶ ἀνοητεὶ τοῦ μείρακος ὑποχώρησιν; ὅσον οὖν ἐπανελθὼν ηὔφρανε, τόσον ἠνίασε, μὴ καὶ γράμμα σὸν ἐμφανίσας μοι, καθά ποτε καὶ ὁ Στειριώνης καὶ οἱ μετ' ἐκεῖνον φυγάδες, ἀνδρὶ τὰ μὲν εἰς ἑτέρους φιλίως ἔχοντι καὶ πεποθημένως, τὰ δέ γε πρὸς σὲ καὶ εἴ τι τούτων ἀνώτερον. ἀλλὰ σύνευξαί μοι παραμονίμῳ τῷ πρὸς ἡμᾶς, τοὺς τῶν παίδων νόας στερεωθῆναι, ἐμά τε καλύψαι βλέφαρα καὶ τῷ τάφῳ χοῦν ἐπιχῦσαι, ἡνίκα τὸ τοῦ βίου τούτου κνέφας ἐπέλθῃ μοι· ἔκτοτε ἄλλος ἄλλυδις σκεδασθήσεται· τοῦτο γάρ μοι προλέγει ἡ τοῦ καιροῦ ἀπληστία, ἥ τε κατὰ Ναύπακτον πολύτροπος κάκωσις, ὑφ' ἧς ἐγὼ θέρους μὲν ὑπὸ δένδρῳ κάθημαι καὶ σκιᾷ, κατὰ τοὺς σφύρᾳ μικρᾷ καὶ ὀλίγῳ τῷ ἄκμονι τὰ τῶν χαλκωμάτων ὑπόσαθρα θεραπεύοντας καὶ ταῖς τούτων πληγαῖς τὸν κασσίτερον ὑποτήκοντας, χειμῶνος δὲ χωρικῇ καλύβῃ ἐγγωνιάζω, καὶ οὔποτε πράγματι Ναυπάκτου εἰμί, οὐδὲ τὴν αὐθεντικὴν τοῦ ἐπισκοπείου τρίβω καθέδραν, ἀλλὰ κατὰ τοὺς πάλαι περιπατικοὺς βουνοὺς ἀναβαίνω, φάραγγας διαβαίνω καὶ καταβαίνω πρὸς τὰ ἐπίπεδα, εἴ που καὶ παρ' ἡμῖν πεδιάς, ἀλλὰ μὴ πάντα πέτραι ἀπότομοι καὶ πορεῖαι λίθοις κατάστρωτοι, ἄκανθαί τε πολυειδεῖς καὶ παλίουροι, τὰ τῶν ὁδευόντων ἱμάτια διαμεριζόμεναί τε καὶ διαξαίνουσαι. καὶ τοὺς μὲν πόνους τῶν ἰδίων καρπῶν φάγεσαι προσωπικῶς τὸ γραφικὸν ἐγκελεύεται, ἐγὼ δὲ τοὺς ἐμοὺς πόνους ὀφθαλμοῖς οὐκ ἐπέρχομαι, οἷς ἐπὶ πόλλ' ἔπαθον καὶ πόλλ' ἐμόγησα, χρυσῷ τὴν ἐκκλησίαν καταστιλπνώσας καὶ ὡραΐσας ἐν εἰκονίσμασιν, ὧν πολλὰ μὲν ἠχρείωσεν ὄμβρος, τῆς ὀροφῆς ἀμεληθείσης ἐφ' ἱκανόν, πολλὰ δὲ δάκρυα λείβω καὶ ἀποδύρομαι τὴν ἀχρείωσιν. ὤ μοι θεῖε ναέ, ὅτι γέγονας ὡς τὸ ἀπαρχῆς, ὅτε οὐδεὶς χειρίσοφος ἐπέβαλε χεῖρά σοι, ἀλλ' ἦσθα κατὰ τὰς χήρας, αἳ φοροῦσι κρήδεμνα καπνηρὰ καὶ χιτῶνας ἐπιρρύπους ἐπενδιδύσκονται. τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ καὶ τοῖς ὀφθαλμοῖς πηγὴν δακρύων, Ἱερεμίας φησίν, καὶ τὴν ἐσχάτην ταύτην ἀποκλαύσομαι συμφορὰν καὶ τείχη πόλεως· ὡς ἐκεῖνος καταγαγεῖν ὡς χειμάρρους ἐκδυσωπήσω τὰ δάκρυα, οὐχ ἵνα λαὸν νομολάτρην ἀπαγόμενον ἀποκλαύσωνται, ἀλλ' ὡς ναὸν πενθήσωσιν ἐρημούμενον καὶ γεραρὸν οἰκονόμον τῆς χάριτος ἀποκλαύσωνται καὶ συνθρηνήσωσι κλῆρον, ὃν οὐκ ἔτυχον μέν, συνήγαγον δὲ ἐκ διαφόρων γεννητόρων, παλεύσας τὴν ἐπαινετὴν ὄντως καὶ τὴν ἐν πνεύματι πάλευσιν, ψυχὴ δὲ δευτέρα φαραωνῖτις καὶ γνώμη ἀπάνθρωπος τοῦ κρίμασιν ἀρρήτοις κατατυραννοῦντος ἡμᾶς συμφυγαδεύει καὶ συνδιώκει καὶ συσκεδάζει καὶ διασπᾷ, ὡς θὴρ σπαράκτης, νυκτερινός, τὰ καλῶς ἡνω-

27 19 ἀνωϊςῖ — 22 ἔχοντα — 30 χωρϊκῶ — 35 Ursprünglich war ἐπεῖ

μένα καὶ σηκοῖς ἀσφαλιζόμενα πρόβατα. τοῦτο, οἶμαι, κατὰ τὴν ἐν Πελαγονίᾳ
55 Ἡράκλειαν ἡ σὴ συγγενομένη ἁγία ψυχὴ ἤκουσεν, ἄῤῥητά τε ῥητά τε καὶ
ὃ τῆς ἐκείνου ψυχῆς ἐρεύγεται βόρβορος. ἀλλ' ἐκεῖνος μὲν ἴσως ἐλάλει,
σὺ δ' ἀκούων οὐκ ἤκουες, μαθὼν ἀκριβῶς ὅπερ ὁ Πλάτων πρός τινα τῶν
ὕβριν ἀπαγγειλάντων σοφῶς ἀπετόξευσεν· εἰπόντος γάρ τινος, ὡς ὁ δεῖνα
ἐπ' ἐμοῦ πολλά σε ἐλοιδόρει, ὁ Πλάτων, εἰ μὴ σύ, ἀντέφησεν, ἡδέως ἤκουες,
60 οὐκ ἂν ἐκεῖνος ἐλοιδόρει. ὥστε, τίμιε δέσποτα, ὁ εὐκόλως ὑπέχων τοῖς
ὑβρισταῖς ἀκοὰς μᾶλλον ἐκεῖνος ὑβρίζειν δοκεῖ· οὐδὲ γὰρ ἂν πρὸς ἀέρα,
πρὸς λίθους, ἐξερεύξηται τὰ ἀδόλεσχα, ἀλλὰ πάντως πρὸς ἀνθρώπων ἀκου-
στικήν, τούτων δὲ φευγόντων τὴν ἀκοήν, ὃν θυμὸν ἐκεῖνος κατεδεῖται
καὶ ἡσυχάσει. ἐκεῖσε γοῦν εἰς Πελαγονίαν εἴτε Ἡράκλειαν μαλακισθῆναί σε
65 ἤκουσα καὶ ἐπικράνθην, εἴ γε ἀνὴρ χρυσοῦ καθαρώτερος σπίλοις ἀῤῥω-
στημάτων τὸ θεῖον σῶμα ῥυπαίνεται. ἀλλὰ σύ τε εἰς Ἐπίδαμνον ἐπανῆκες,
καὶ ἡμεῖς τῶν λυπηρῶν ἐπανήλθομεν, νῦν δὲ πλανώμεθα ἄλλην ἐξ ἄλλης
ἀμείβοντες καὶ κατὰ τὸν Ὁμηρικὸν Ὀδυσσέα πολλῶν φλιαῖς παριστάμενοι,
θλίβοντες ὤμους, || ἀλλ' οὐ προσαιτοῦντες ὥσπερ ἐκεῖνος· οὔπω γὰρ ἡμᾶς Bl. 5
70 ὁ θεὸς καὶ εἰς ἐπαίτας συνέταξε, προσδεχόμεθα δὲ γῆρας αἰδοῖ καὶ τῷ
ἀξιωματικῷ τῆς προσαγορεύσεως· ὅθεν καὶ ἐκ Βελᾶς ἡ ἐπιστολὴ ἐχα-
ράχθη σοι. ἵνα δὲ γνῷς ἃ ποιεῖ ὁ ἡμέτερος τύραννος, ἐκ πολλῶν ὀλίγα
ἐκθήσομαί σοι· ἐξῶσεν ἡμᾶς τοῦ ἐπισκοπείου συνόλως, οὐ λαβόμενος τῆς
χειρός, οὐδὲ ῥάβδῳ πλήξας, ἐκβαλών, πάντα δὲ τὸν ἱερὸν περίκυκλον κα-
75 τασχὼν εἰς ὕψος ἠρμένας οἰκοδομὰς συνεστήσατο, ἀποκλείσας ἡμῖν ὄψιν
θαλάσσης, πνοὴν ἀέρος, καὶ οὔτε τὰς ἐπικρεμαμένας τοῖς τοιούτοις ἐκ
τῶν κανόνων ἀρὰς ὑποστέλλεται, οὔτε τὰ περὶ τὴν μητρόπολιν οἶκον
λογίζεται τοῦ πατρὸς τοῦ Χριστοῦ, ἀλλὰ πάντα τῆς ἐκκλησίας τὸν ὅρον
οἶκον θέμενος ἐμπορίου. ἀτιμάζει μὲν ἐντεῦθεν κανόνας, συμπατεῖ πᾶν
80 δίκαιον, ἕνα νόμον οἶδεν, ἕνα κανόνα, τὸ ἑαυτοῦ συστήσασθαι θέλημα
Παύλου δέ, οὐδ' ὡς ἑνὸς ἀκούει τῶν ἀγελαίων, λέγοντός που ἐν μέρει,
εἶναι τὴν πεισμονὴν οὐκ ἐκ τοῦ καλοῦντος ἡμᾶς. ἀλλὰ κἂν ἄγγελος ἐξ
οὐρανοῦ μὴ ποιεῖν αὐτῷ καλῶς ὑπηχῇ, τρόπον ἄλλον ἀνάθεμα τοῦτον
βούλεται εἶναι· τῷ δὲ ἐπισκόπῳ ἐμοί, τοῖς ὑπὸ χεῖρα ἐμήν, τοῖς φίλοις,
85 τοῖς παραβάλλουσι, τῇ ἐνούσῃ ἀποσκευῇ, ταῖς ἀνάγκαις τοῦ σώματος, τὰ
μεγάλα φιλοτιμούμενος, ἣν οἶδας Κελλαθραίαν μονὴν ἀπένειμεν· ἀβουλήτους
ἡμᾶς ἐγκλείστους ἢ ὡς ὄρνεον ἐν καρτάλλῳ καταστησάμενος, τὰ ἐπισκοπικὰ
ἐνεργεῖ, τούς τε γὰρ ἐξ ἀλλοδαπῶν παραβάλλοντας ἱερεῖς δίχα γνώ-
μης ἡμῶν τῷ τοῦ ἐπισκοπείου ναῷ ἱερουργεῖν ἐγκελεύεται, προχειρίζεται
90 ἡγουμένους, γάμοις ἐπιστατεῖ, παράνομα συνοικέσια ἐπὶ χώρας μένειν
παρακελεύεται. ἐπὶ τούτοις ἐδυσχέρανεν ὁ ἐπίσκοπος, καὶ ἀνεστάθη ἅμα
τὸ πελατικὸν καὶ τὸ παρὰ πόδας τῆς ἐξουσίας σκιμπόδιον κατὰ κόῤῥης

27 [69] θλῖβομ(εν)

τούτου ἐκτείνεται. κήπους τῶν κληρικῶν, συκαμίνους, γήδια ᾠκειώσατο· οἱ δὲ ὅπη μὴ ἐργάσασθαι ἔχοντες καὶ ὅθεν πορίσασθαι ἄλλος ἀλλαχοῦ διεσπάρησαν· τὰς δὲ τούτων ταύτας ὑπάρξεις στρατιώτας ἀπεχαρίσατο· 95
ἔνια δὲ καὶ τῶν τῷ κώδικι καταγεγραμμένων τῆς ἐκκλησίας καὶ ταῦτα τούτοις διεμερίσατο, ἐνίοις καὶ καρεῖσιν εἰς μοναχούς, εἶτα τὸ σχῆμα μὲν ἀθετήσασι, φαρέτραν δὲ κατὰ στρατιώτας περιζωσαμένοις καὶ μάχαιραν. καὶ ὅτι τοῖς τοιούτοις μὴ συνεκκλησιάζεται ὁ ἐπίσκοπος, οὖσιν — ὡς οἶδας — ἐκ τῶν κανόνων ὑπὸ ἀνάθεμα, πολέμιος τῆς ἐξουσίας λογίζεται, 100
ὑφαιρούμενος δῆθεν τὸ ὑπ' αὐτὴν στρατιωτικὸν καὶ τὸν λεγεῶνα παρακόπτων τῆς φάλαγγος, τοῦ γέλωτος ὑφ' ἧς καὶ ὑφ' ὧν οὐδὲ κορώνην εἴδομεν κρατηθεῖσαν. εἰ δὲ καὶ ὑποχείριον Βελεχατούϊαν ἔχει καὶ τὸν Ἰταλὸν Θωμᾶν γειτνιάζοντα ἐν τῷ Σόλωνι, ἀλλ' ἐν τούτῳ τέως τὰ μέγιστα καταπράττεται· χειμῶνος γὰρ ἐπέρχεται μυωξίαν ὡς τὰ τῶν ζῴων κατά- 105
δειλα, θέρους δέ, ἐπὶ ποταμὸν καθέζεται τὸν Βελούχοβον· ἡδὺς δὲ οὗτος ἰδεῖν καὶ πιεῖν ψυχρὸς καὶ μεταβαλεῖν πρὸς τὴν ὁμοίαν ψυχρότητα καὶ ὀπώρας καὶ ὅσα πόματα σκευαστά, ἐξ ὧν ἐσθίων καὶ πίνων, ἐκ τούτων λεόντειον τὴν ἐρυγὴν ἀναπέμπεται. ὁ δέ γε Θωμᾶς αὐτοῦ καὶ τῶν ὑπ' αὐτὸν γέλωτα πλατὺν καταχέων πελάτης ὁσημέραι τῶν περὶ τὴν Βελᾶν 110
καὶ τὴν Καρούταν γίνεται βοσκημάτων, καὶ οὐδεὶς τῷ ἀφαιρέτῃ τούτῳ ἀντικαθίσταται, ἀλλ' ἡ καρδία τοῦ κυρίου τῶν τόπων συμφρίσσει τῇ ἀκοῇ καὶ τὸ αἷμα περὶ ταύτην ἐκ τῶν ἄκρων συστέλλεται, καὶ εἰ μή γε ὁ φόβος ἤλαυνε περὶ ταύτην ἅπαν τὸ ζωτικόν, νεκροῦ ἂν οὐδὲν αὐτίκα διέφερεν ὁ ἐξουσιαστής. ἀλλ' ὡς οὐ πάντα πᾶσι δῶκε θεός, ἀλλὰ τούτῳ μὲν κίθαριν 115
δῶκε καὶ ἀοιδήν, ἄλλῳ δὲ μορφὴν ἔπεσι στέφει, οὕτω καὶ τούτῳ· εἰ καὶ δειλίαν περὶ τὴν καρδίαν ἐνῴκισεν, ἀλλὰ περὶ τὸν μητροπολίτην, περὶ τοὺς παροίκους τῆς ἐκκλησίας, τῶν ἀπ' αἰῶνος ἔδειξεν ἀνδρικώτατον· τὸν μὲν γὰρ διώκει, καθὰ καὶ λαῖλαψ τὰς φρυγανώδεις τῶν βοτανῶν καὶ ὅσαι περὶ γῆν σκεδάζονται ἄρριζοι, τούτοις δὲ κατὰ τὸν ποτὲ Φαραὼ βαρεῖς 120
ἐφιστᾷ τοὺς ἐργοδιώκτας, οὐ πηλὸν ἀχύρῳ συμμάσσουσιν, οὐδὲ

[Die Fortsetzung nicht vorhanden.]

28

[Der Eingang fehlt.]

Bl. 6 a *ῥῆμα διέξεισιν· ἡ τὸν ἴδιον ἄνδρα καταλιποῦσα μοιχαλίς ἐστιν, εἰ ἐπ' ἄλλῳ ἦλθε, κατὰ τὸν ἱερὸν καὶ θεῖον Βασίλειον ἐκ τῆς Ἱερεμίου προφητείας ἄριστα τοῦτο ἀναλεξάμενον, ὅτι ἐὰν γένηται γυνὴ ἀνδρὶ ἑτέρῳ, οὐκ ἐπιστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς, ἀλλὰ μιαινομένη μιανθήσεται· καὶ πάλιν ὁ ἔχων μοιχαλίδα, ἄφρων καὶ ἀσεβής. ἐὰν οὖν φανῇ τοῦ ἀνδρὸς ἀλόγως* 5
ἀναχωρήσασα, ὁ μὲν συγγνώμης ἐστὶν ἄξιος, ἡ δὲ ἐπιτιμίων· ἡ δὲ συγ-

γνώμη τούτῳ πρὸς τὸ κοινωνεῖν τῇ ἐκκλησίᾳ δοθήσεται. ἔτι δὲ καὶ τοῦτο πρὸς ἡμᾶς ἀφηγήσατο ἡ γυνή, ὡς δέκα ὅλους χρόνους ἔχει ὁ Ξιφιλῖνος μὴ συνελθὼν αὐτῇ, μηδὲ συνοικήσας, μηδὲ ταύτην ἐπισκεψάμενος. καὶ
10 ὁ μὲν Ἀπόστολος διδάσκει, μὴ ἀποστερεῖν ἀλλήλους τοὺς συναφθέντας, εἰ μή τι ἂν ἐκ συμφώνου. δῆλον δέ, ὡς διὰ τοῦτο ἀνὴρ συνάπτεται γυναικί, ἵνα καὶ παῖδας ἀπογεννήσῃ πρὸς τὴν τοῦ γένους διαδοχὴν καὶ πρὸς τὰς τῆς σαρκὸς ἐπηρείας ἀντιβοηθῶσιν ἀλλήλοις καὶ μὴ πρὸς πορνείας ἐκπίπτουσιν. τί γὰρ ἄλλο βούλεται τὸ πλασθῆναι τὴν γυναῖκα βοηθὸν τῷ
15 ἀνδρί, καὶ τοῦτον ὡς οἰκεῖον μέλος ταύτην λογίζεσθαι, κατὰ τὴν τοῦ Παύλου διδασκαλίαν; ἔνθα δὲ ἐπὶ τοσούτοις ἔτεσιν οὔτε πρὸς τὴν ἑαυτοῦ γυναῖκα εἰςέρχεται ὁ ἀνήρ, οὔτε ταύτης ἐπιμελεῖται τὰ εἰς τροφήν, τὰ εἰς περιβλήματα, ἐκεῖσε πάντως παρὰ τὴν τοῦ ἀνδρὸς αἰτίαν καὶ πορνεία παῤῥησιάζεται καὶ τὸ πλεῖστον ὑπὸ εὐθύνην γίνεται ὁ ἀνήρ. καὶ πρόσχες
20 κρίσει συνοδικῇ γενομένῃ ἐπὶ τοῦ τῆς ὁσίας μνήμης ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως καὶ διεξιούσῃ οὕτως ἐν μέρει· αἱ παρὰ ἀνδρῶν παρασχομένων τὴν αἰτίαν ἀπολυθεῖσαι γυναῖκες, εἰ γήμασθαι βουληθεῖεν, καὶ αὗται ἀνέγκλητοι καὶ οἱ εὐλογοῦντες ἱερεῖς, ὡσαύτως καὶ ἐπὶ ἀνδρῶν. παρεθέμην δ' ἂν σοι καὶ νόμους πολιτικούς, εἰ μὴ ὤκνουν πολυγραφεῖν.
25 σὺ τοίνυν ἐπὶ τῶν τόπων ὑπάρχων, εἴ περ εὑρήσεις ἑξαετῆ τὴν γυναῖκα οὖσαν, ὅτε τῷ Ξιφιλίνῳ συνήφθη, ἂν ἡ μήτηρ αὐτῆς τὰ περὶ τούτου ἐν τῇ Βελᾷ ἐπωμόσατο, ἐὰν πρὸς ἄνδρα ἕτερον ἀπένευσεν ἀληθῶς καὶ ἐὰν ὁ Ξιφιλῖνος ἐπὶ δεκαετίᾳ ὅλῃ οὐ συνῴκησε ταύτῃ ἢ οὐ συνῆλθεν, ἀνενδοιάστως ἑτέρῳ συναφθῆναι ταύτην ἐπίτρεψον, ἵνα μὴ πολλὰ τὰ ἄτοπα
30 κατὰ τῆς ἰδίας κεφαλῆς ἐπισωρεύουσα ἡ γυνὴ ἁμαρτάνῃ διόλου εἰς κρίμα τῆς ἰδίας ψυχῆς, πρότερον ἐπιθεὶς ταύτῃ τὰ τοῖς τοιούτοις πρέποντα ἐπιτίμια· τοῦτο δὲ παραφύλαξον, τὸ μὴ συναφθῆναι ταύτην πρὸς γάμον τὸν σήμερον ταύτης φθορέα, ἕτερον δέ· πάντως ἵνα μὴ καὶ ἄλλαι τῶν ἰδίων ἀνδρῶν ἀποδιϊστάμεναι τὰ ὅμοια πράττωσιν. ὁ Ξιφιλῖνος δὲ πᾶσαν ἄδειαν
35 ἕξει πρὸς τὸ ζητεῖν ἅπερ πράγματα τοῖς γονεῦσι ταύτης προσήγαγεν ἐν τῷ τοῦ γάμου καιρῷ. καὶ λοιπὸν μήτε σοι μήτε ἡμῖν ἀπὸ τοῦ νῦν κόπους ἡ γυνὴ παρεχέτω, ἀλλὰ τὰ κατ' αὐτὴν ὡς ἀνατέτακται διοικονομησαμένη ἡ ἱερότης σου καὶ ἑαυτὴν καὶ ἡμᾶς τοῦ ἐκ ταύτης ὑποπιασμοῦ ἀπαλλαξάτω. διατηροῖο μοι εὔθυμος, ὑγιής. μηνὶ μαΐῳ, ἰνδικτιῶνος Θ̅.

29

[Ohne Überschrift.]

Ἀγαθὴ παραίφασίς ἐστιν ἑταίρου τοῦτο δὴ τὸ ὁμήρειον· καὶ θέλοντά με καὶ αὐτόν, ὤτρυνας· ἐξ Ὁμήρου καὶ τοῦτο. ὅμως παρέστησας, οἷος εἶ περὶ τὸν Ναυπάκτου, καὶ τὰς ἐμὰς μαρτυρίας οὐκ ᾔσχυνας· δεῖγμα δὲ καὶ τοῦτο φιλίας, ὅτι καὶ θυρῶν ἐγγὺς ὤν, προσρήσεις πέμπεις καὶ συμβουλάς. τῆς δὲ Bl. 7a

28 [9] μηδὲ — [16] ;· = δὲ? δ'?

σῆς ἐντυχίας, πῶς ἂν εἴποις ἐρῶ καὶ αὐτός· διομιλουμένου γάρ σου ὥσπερ 5
ἀπὸ μελέτης ἡδύνεταί μου ἡ ἀκοή, καὶ τὰ λόγιά σου γλυκύτερα ὑπὲρ μέλι
καὶ κηρίον ἐμοὶ καὶ εἴης οὕτω φιλῶν. ἐκ τοῦ παρευθὺ δέ, τὴν συμβουλήν
Bl. 7 b *σου πεπλήρωκα. θεὸς δέ, ᾧ λήθη || τῶν γινομένων οὐδέν, ἐξ ἀνθρώπου πονη-*
ροῦ ἐξελεῖταί με καὶ ἀπ' ἀνδρὸς ἀδίκου καὶ δολίου, ῥύσεται. καὶ τοὺς
ἑτοιμάζοντας τοῖς ποσί μου παγίδα, καὶ κατακάμπτοντας τὴν ψυχήν μου, 10
ἀμυνεῖται δικαίως, ἐπιστρέφων δηλαδὴ ἐπὶ τὴν αὐτῶν κεφαλὴν τοὺς πόνους
αὐτῶν. σοὶ δὲ χάρις, καὶ παραινοῦντι καὶ γράφοντι.

30

Bl. 7 b

Πρὸς τὸν Γοριανίτην.

Τοῦ μὲν ἐπισκοπείου, μεσάζων λαμπρότατε, μικροῦ καὶ ἐξώσμεθα καὶ θύο-
μεν οὐδαμοῦ τὸν ἀμνὸν τοῦ θεοῦ, καθά ποτε καὶ τὸν Ἰσραὴλ τὰ δεσμὰ τοῦ
νόμου ἔξω θύειν ἐκώλυσε τῆς σκηνῆς· θύτην δέ με τοῦ σοῦ ἀδελφοῦ ὁ παν-
ευτυχέστατος Δούκας γενέσθαι ἠνάγκασεν, ἵν', ὡς ἔοικεν, ὡς ἐκεῖ οὐ θύομεν 5
γυμνὸν τὸν θεόν, ἀλλὰ μετὰ τοῦ προςληφθέντος ἀνθρώπου, ὃν καὶ ἐθέωσεν,
οὕτω καὶ ψιλῶν ἀνθρώπων θύται γινοίμεθα. ἀλλὰ νόσος παντοδαπὴ καὶ
ποδῶν ἐπίσχεσις χαλεπὴ τοῦ ἀνθρωποθυτῆσαι ἐκώλυσαν καὶ βεβλήκαμεν
εἰς τὴν θήκην τὴν μάχαιραν, ὡς πᾶς λαβὼν μάχαιραν ἐν τούτῳ ξίφει θανὼν
πεσεῖται· τοῦτο τοῦ Χριστοῦ λόγος. ἔμαθον δέ, ὡς πολλὰ καὶ βαρέα πρὸς 10
τὴν ἐξουσίαν κατέγραψέ μου ὁ Δούκας· εἰ μὲν οὖν ἀληθῶς ἤκουσα, ἡ γραφή
μου τῷ κυρίῳ ἀναγνωσθήτω, εἰ δὲ ψευδῶς τὰς ἐμὰς ὑπήχησεν ἀκοάς, περί-
ελαί σου τῇ δεξιότητι ὁπόσα τοῦ γράμματός μου μὴ συντείνουσι τῷ καιρῷ,
τὰ δ' ἄλλα καὶ ὅσα θελκτήρια τῇ ἐξουσίᾳ ὑπήχησον. πλὴν ὅτι ἐντεύξομαί
σου, διδόντος θεοῦ, καὶ φίλον γνωριεῖς τὸν Ναυπάκτου πιστόν. ἡ χάρις τοῦ 15
θεοῦ διατηροίη σε πολυχρόνιον.

31

Bl. 7 b

Πρὸς τὸν κραταιὸν Κομνηνόν. +

Ἄγλωσσος ὁ γραμματοφόρος, κράτιστε Κομνηνέ, καὶ οὐκ ἄγλωσσος τὴν
ἑλληνίδα λεκτικὴν καὶ τὸ ὄργανον. γλῶσσαν δὲ καλοῦμεν καὶ τὴν διάλεκτον·
καὶ τοῦτο ἐκ τῆς γραφῆς· ἐλάλουν γάρ φησιν ἑτέραις γλώσσαις τὰ μεγάλα
τοῦ θεοῦ καὶ προεφήτευον οἱ ἀπόστολοι. χρῶμαι γοῦν τῷ ἀνδρί, ὁπόσα καὶ 5
ταῖς περιστεραῖς οἱ κατ' Αἴγυπτον, καὶ τῇ τούτου χειρί, καθὰ κἀκεῖνοι τοῖς
τῶν ὀρνέων ποσί, τὸ γράμμα τοῦτο δεσμήσας, τῷ κράτει σου πέπομφα·
καὶ ἐπεύχομαί σοι πᾶν ἀγαθὸν ἀπὸ θεοῦ καὶ σωτήριον, ἵνα μὴ κατὰ μέρος
τὰ πάντα μακρολογῶ, ἀλλὰ συνεσπειραμένως ἐρῶ καὶ κατὰ βραχυλογίαν
λακωνικήν. χαῖρε γοῦν κοινὸν ἀγαθόν, σῶτερ ἡμῶν ἁπάντων, ἦθος ἐλεύ- 10
θερον, ὄμμα γλυκύ, γλῶσσα γλυκυτέρα καὶ μέλιτος· ταῦτά σοι ὁ κλινήρης
γέρων ἐγώ, ὁ φθονηθεὶς ἀδίκως παρὰ τοῦ σοῦ ἀδελφοῦ, καὶ μυρία πρὸς
αὐτοῦ ἀκούων κακά, αἰσχύνομαι δὲ διὰ τὸ αὐτοῦ εὐγενὲς εἰπεῖν καὶ ψευδῆ,

καθὰ δήπου καὶ ἐπὶ τῇ τοῦ Γοριανίτου ὑποθέσει, ὥς γε στοχάζομαι. ὅτι
15 ἀρρωστίαις περιπεσών, αἷς καὶ προκατειχόμην, καὶ ὑπ' αὐτῶν σφιγχθεὶς
κραταιότερον ὑπὸ χεῖρας ἔπεσον ἰατροῦ. καὶ ἔπινον, τοῦτο δὴ τὸ τοῦ ποιη-
τοῦ, τὰ φάρμακα ἐπασσύτερα, καὶ τὴν τούτου ἀπαλλαγήν, ἡ ἑτέρου πόσις
προέφθανεν, καὶ εἰς ἐξιτηλίαν ἦλθον ἐσχάτην, ταῖς πυκναῖς κενώσεσιν ἐξα-
τονηθείς. ἠγγέλθη δέ μοι, ὡς ὁ Δούκας κῦρ Κωνσταντῖνος τὸν Ἀχελῷον
20 καταλαμβάνει, σείων ὄρη, βουνοὺς ἐξιστῶν, λαὸν δειματῶν, σαλεύων τὰ
παρακείμενα, καὶ τῇ παρουσίᾳ μόνῃ τὰ πάντα στενοχωρῶν. ἀλλὰ τέσσαρές
που καὶ πλείονες παρῆλθον ἡμέραι καὶ ὁ μὲν ἔκρινεν, ὁ δὲ Γοριανίτης ἐκρί-
νετο· καί ποτε περὶ δείλην ἀνήρ τις τὴν ἐμὴν προαύλειον ἔκοψεν, ἕκτη δὲ
ἦν ἡμέρα, καὶ ὁ κόψας τὴν θύραν γραμματοφόρος ἦν τοῦ σοῦ ἀδελφοῦ, προ-
25 καλουμένου με εἰς τὴν δίκην. ἐμὲ δὲ ἀμίδες εἶχον αὐτίκα καὶ ὑπογάστριοι
σκίμποδες· καὶ ἡ γαστὴρ ἐκένου καὶ τὸ δυναμοῦν ἐλελοίπει. καὶ παρῃτη-
σάμην τὸν σὸν ἀδελφὸν μετεωρῆσαι τὴν δίκην ἐπὶ ἡμέρας, ὥς μοι ἀμπνυν-
θείη τὸ μένος καὶ πρὸς ἐπιβίβασιν ἵππου δυναμικώτερος ἔσομαι. καὶ ἐποίη-
σεν οὕτως καὶ ἀπῆλθε πρὸς τὰ οἰκεῖα, μερίσας ἐμοὶ μὲν ἀνάπαυσιν, τῷ
30 Γοριανίτῃ τὴν τῶν ἀνὰ χεῖρας φροντίδα, ἑαυτῷ δὲ τὴν τῶν ἰδίων τημέλειαν,
δι' ἣν τὸ πᾶν παρεκρούσατο. ἡμέραι παρῆλθον καὶ ὁ μὲν Γοριανίτης τῇ σῇ
προσέδραμεν ἐξουσίᾳ, ὁ δ' ἐπανῆκε, τὸν μὴ παρόντα κρινούμενος, καὶ συν-
εστήσατο

[Die Fortsetzung fehlt.]

32

[Der Eingang fehlt.]

Μελιγαλᾶν ἐγχείρησις τούτων, ἅτε τῆς μητρὸς τῆς παιδὸς μὴ τὰ πιστὰ Bl. 12 a
ἐχούσης ἔτι πρὸς τὸν ταύτης γαμβρόν, νεώτερον ὄντα καὶ τῇ ἡλικίᾳ καὶ
ταῖς ὁρμαῖς καὶ ἀδύνατον οἰόμενον χρυσοφυλακεῖν παρὰ ταῦτα. τούτων οἶδα
πλέον οὐδέν.

33

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν + Bl. 12 a

Ὅτε μετηρχόμην τὴν ἐγκύκλιον παίδευσιν καὶ τὸν τραγῳδοποιὸν ἐχείριζον
Εὐριπίδην, αὐτίκα ἐμάνθανον, ὡς ἔστιν οὗ σιγὴ κρείττων λόγου, ἔστι δ' οὗ
σιγῆς λόγος, ὡς δῆλον εἶναι λόγου καιρὸν τὸν ποιητὴν ὁρίσασθαι καὶ σιγῆς,
5 τὸ δὲ παρακαίρια βάζειν οὐδὲν ἄλλο, οἶμαι δηλοῦν, ὅτι ἀναιρουμένου τοῦ
μὴ ἐγκαίρως ἐπαινετὸν τὸ κατὰ καιρόν. τῇ γοῦν ποιήσει ταύτῃ πειθόμενος
ἠρώτησα τὸν κρατοῦντα οὐ περὶ ἐμοῦ καὶ τῶν κατ' ἐμέ, περὶ δὲ τῆς ἐκκλη-
σίας καὶ τῶν αὐτῆς· καὶ ἔδοξα τηνικαῦτα τοῖς τὰς κρίσεις δεκάζουσιν, ὀχλο-

31 [14] Hs.: *γορϊανήτ(ου)* — [16] Das *κ* des Wortes *καὶ* nach einer Korrektur des ursprünglich geschriebenen *ἐ*, was sicherlich der Anfangsbuchstabe des daraufolgenden Wortes *ἔπϊν(ον)* sein sollte.

32 [3] *χρυσοφυλα(κῆν)*

κόπος τις καὶ λάλος καὶ δύσερις, κακῶς εἰδόσι καὶ τὸ φρονεῖν ὑπὸ τοῦ θέλειν ἀφῃρημένοις. πῶς δὲ καὶ σιγήσει ἐπίσκοπος, ᾧ κανόνες μὲν ἐπικρε- 10
μῶσι τὰ ἐκ σιγῆς ἐπιτίμια, νόμοι δὲ πολιτείας, ἀλλὰ καὶ αὐτοί, πρόσωπα καὶ καιροὺς δικαστηρίων ὁρίζονται, ὡς δῆλον εἶναι τὰς δίκας τούτους μὴ ἀναιρεῖν, ἀκολούθως δὲ μηδὲ τὰς φωνάς; οὐ γὰρ ἀλαλήτως δικάσεταί τις, οὐδ᾽ ἀφώνως τὰ οἷ δοκοῦντα πρόθηται συντελῇ. τούτων δὲ κειμένων, ὁ ὑπὲρ ἐκκλησίας καὶ τῶν ταύτῃ προσηκόντων διαμιλλώμενος θεῷ νέμει χάριν, πρὸς 15
ὃν τὰ ἱερὰ ἀναφέρεται καὶ δι᾽ ὧν τὰ ὑπὸ ταύτῃ ἐπὶ τὸ κρεῖττον διαβιβάζεται, ἀλλ᾽ ὅμως λαλήσας, συντελῶς μὲν ἐμοὶ ὡς πρὸς τὰς ἐκεῖθεν ἐλπίδας, οὐ συμφερόντως δὲ τοῖς ἐν δίκῃ διὰ τὸ θέλημα τοῦ καιροῦ, ἐξελαβόμην ἀντίστροφα τὸ προφητικὸν καὶ καθ᾽ ἑαυτὸν αὐτὸ ἀνεφώνησα καὶ ἐλάλησα [καὶ] εἶπον· μὴ λαλήσομαι καὶ ἀεί. ἐθέμην δὲ καὶ σιγὴν δοκίμιον τοῦ ἴσως 20
δι᾽ αὐτὴν ἐκβησομένου· κελλίον καὶ ὅρον ἔπηξα ταύτῃ οὐ πυθαγορικόν τι μέτρον, ἥλιον ἕνα πρὸς ἑαυτὸν ἀνακυκλούμενον καὶ τριπλούμενον, ἀλλ᾽ ὅσον οὗτος δύνων καὶ λάμπων ὅλον τὸν οἰκεῖον δρόμον δίχα διέλῃ, φθάσαντί μοι γοῦν πρὸς τὸ νῦν (ἀκαριαῖον δὲ τὸ νῦν, ὡς οἶσθα, ἄμετρόν τε καὶ ἄκαιρον, ὃ γὰρ τοῖς ἀριθμητικοῖς ἡ μονὰς καὶ τὸ σημεῖον τοῖς γεωμέτραις, τοῦτο καὶ 25
τοῖς φιλοσόφοις τὸ νῦν), τὶ λαλεῖς καὶ τὶ συμβουλεύεις; ὑπερπατήσω τὸν ὅρον καὶ ὑπερβήσομαι τὸ τεθὲν καὶ δώσω παῤῥησίαν αὖθις τῇ γλώσσῃ, ἐπείπερ οὐδὲν ἐκ σιγῆς ἀπωνάμην, ἢ σιγήσομαι καὶ εἰς ἔμπροσθεν καὶ θεὸν καὶ νόμους ὁσίους τιμωροὺς αὐτῷ ἐπενέγκαιμι; εἰ δὲ καὶ Σολομῶντι δοκεῖ, τὸν ἑαυτόν τινα ποιήσαντα ἐννεὸν φρόνιμον εἶναι δοκεῖν, ὁ γὰρ συνιὼν ἐν 30
πονηραῖς ἡμέραις, ἔσται σιωπῶν ὥσπερ ἀγγέλλει λόγος. ἀλλ᾽ ἐγῷμαι, θεσπέσιε, ἂν ὑπὲρ ἑαυτοῦ καὶ κοινῶν ἐστήκει ἀγών, θείων δὲ κειμένων ἐν λείᾳ, οὔ μοι κριτέον τὸ τιθέναι αὐτίκα περὶ τὰ χείλη θύραν περιοχῆς. κἂν ἐν ἴσῳ βλέπει χρόνος ὁ νῦν σιγὴν καὶ λόγον, ἐγκαλεῖται δὲ πάντως καὶ ὁ μὴ τὸ ἀργύριον τοῖς τραπεζίταις βαλὼν καὶ ἁμαρτίαν τότε μὴ ἔχειν τοὺς ἀδικοῦν- 35
τας ἀκούομεν, ὅταν ἡμεῖς αὐτοῖς μὴ λαλήσωμεν. ἑστηκότι μοι γοῦν ὡς ἐπ᾽ ἀμφιῤῥεποῦς τῆς τρυτάνης, λόγου τε καὶ σιγῆς, τὶ τὸ σοφὸν ὑποτίθεται; λαλητικοὶ πλασθέντες, ἐσόμεθα σιγηλοὶ καὶ θεὸν καὶ θείας φωνὰς ἐν οὐδενὶ λογισαίμεθα, ἢ τὰ φυσικὰ προτιμήσαιμεν; ὁ Μελιγαλᾶς ἐλθὼν πρὸς ἡμᾶς ὡς βαρυνόμενος ἀποδύρεται, ἐγὼ δὲ πλέον τῶν γεγραμμένων οἶδα οὐδέν. 40

34

Bl. 12a

Τοῦ αὐτοῦ [Ἰωάννου Ναυπάκτου τοῦ Ἀποκαύκου] πρὸς τὸν πανευκλεέστατον πρωτοβεστιάριον τοῦ κραταιοῦ Κομνηνοῦ +

Ὁ παρὼν ἔστιν ἐμός, γέγονε γὰρ ἐξ ἐχθροῦ φίλος καὶ εὔνους ἐκ μὴ τοιούτου. καὶ ἤθελον αὐτῷ ἐπαρκεῖν, ὡς μηδεμιᾶς ἑτέρας χρῄζειν χειρός, ἀλλὰ τῶν ἐκκλησιαστικῶν προσόδων ὁ πίθος οὔ ποτέ μοι ἐγένετο ἐπιχειλὴς οὐδ᾽ ἡμί- 5

33 [20] *[καὶ]* mein Nachtrag — [21] *κελλΐοῦ* — [36] *ἑςϊκότϊ*
34 [2] *ᾶβεςιαρ´* — [4] *μη ⁘ / μϊ(ᾶς)*

κενος· εἰ γὰρ τὸ ἄντλημα τῶν προσόδων τοσοῦτον εἰς μέτρον ὅσον τὸν τοῦ πίθου πυθμένα μόνον πληρῶσαι, πῶς οἱ χρήζοντες εἰς ἐπαρκὲς ἀπαντλή-[σαντες......] αὐτὸς εἰς κόρον αὐτοῖς ἐκεῖθεν ἀρύσαιμι, τοῦ παντὸς τοῦ πίθου κενώματος [................ κε]νοῦ μένοντος; καὶ ἡ μὲν φωνὴ
10 τῶν αἰτούντων παρὰ τῷ || πίθῳ τούτῳ βαρεῖα, ὃ δ' ἀντηχεῖ τούτοις μόνον καὶ Bl. 1
τὴν τῆς ψυχαγωγίας ἀδυναμίαν πιστοῦται τῷ ἀντηχήματι καὶ δείκνυσιν ὡσανεί, ὡς κενὰ παρὰ κενῷ φωνασκοῦσιν. εἰ δ' οὐκ ἀντηχοῦσιν οἱ πλήρεις, τὸ γὰρ ἐντὸς πλήρωμα τὸν ἦχον τῆς φωνῆς ἀποκρούεται, καὶ κατὰ τὴν φιλόσοφον δόξαν σῶμα διὰ σώματος οὐ χωρεῖ, φωνὴ δὲ οὐδὲν ἄλλο ἢ πλῆξις
15 μέρους ἢ ἀὴρ πεπληγμένος, πῶς εἰσρεύσει μὲν ὁ διὰ τῶν φωνητηρίων πληγεὶς ἀὴρ ἐν τῷ πλήρει καὶ οὐχὶ μᾶλλον κατὰ τὰ προσπίπτοντα τοῖς τῶν σωμάτων στεῤῥοτέροις ἀντικρουσθήσεται; εὔδηλον οὖν ἐκ τούτων ὡς οἱ κενοί, ὁποῖος καὶ ὁ ἡμέτερος, δέχεται μὲν τὴν αἴτησιν ὡς κενός, ταύτην δ' ἀντιστρέφει πρὸς τὸν λαλήσαντα ἔναρθρον μέν, ἀκεραίαν δέ, ἄκαρπον
20 δὲ καὶ μένει τοῖς ἀπόροις ὁ κόπος μόνος τῆς προσελεύσεως. ἀλλὰ σύ, πλήρης ὢν ἀγαθῆς προαιρέσεως, πλήρης τοῦ δύνασθαι, πλήρης δωρεῶν, ὑπερχειλὴς εὐεργεσιῶν, τὴν τάξιν ταύτην ἀντίστρεψον· καὶ δέξαι μὲν τὴν τοῦ παρόντος ἔμφωνον αἴτησιν, δεῖξον δέ, ὡς παρὰ τὴν κοινὴν ταύτην δόξαν ἢ φυσικὴν ἀντηχοῦσιν οἱ πλήρεις καὶ τοὺς ἤχους τῶν αἰτούντων δεχόμενοι τε-
25 ραστίως ὡς κενοὶ ἀντιλαλοῦσι πρὸς τοὺς λαλήσαντας· λαλήσεις δὲ τό, λάβε καὶ ὕπαγε· ἐπεὶ καὶ οὗτος, τὸ αἰτῆσαι καὶ τὸ ἐλθεῖν. ἆρ' οὖν ταῦτα γράφων, διαμαρτάνω τοῦ ἐσομένου; οὐ νὴ τὴν καλὴν ἐλεημοσύνην, ἥ σε κοσμεῖ, τὴν κυρίαν καὶ πρώτην τῶν ἀρετῶν ἁπασῶν. καὶ δέχομαι ἤδη εὐηργετημένον τὸν ἄνδρα καὶ λαβόντα βρῶσιν οὐ τὴν ἐφήμερον, ἀλλ' ἑξῆς εἰς ἐπαρ-
30 κέστερον ἀποζήσεται. εἶεν. τὶ δέ σε πράττειν φιλοδοξοῦντα, οὐκ ἂν εἴποιμι, οὐδὲ πεισθείην ἂν καὶ πεισθείην. πῶς γάρ; εἴ γε πᾶς τις δι' ἔλεον ὡς οἰκεῖα ἔχει τὰ σά, θύρα σοι δὲ δι' ἀγάπην ὡς ἡ τοῦ Ἰὼβ παντὶ ἠνεῴγνυται, τράπεζα δὲ ὡς ἡ τοῦ Ἀβραὰμ αὐτοῖς παρατίθεται. σοὶ δὲ τοσοῦτον τὸ ἐκ ταπεινώσεως ὕψωμα, ὡς χθές που καὶ πρὸ τρίτης μετὰ τὴν ἐπὶ τραπέζης καθέδραν τῶν ἀξιω-
35 τέρων αἰδοῦς καὶ τοὺς περὶ τὴν ἐμὴν ἀμίδα καὶ τὸν ὑπογάστριον σκίμποδα ὁμοτραπέζους ποιεῖν, ὅτε καὶ θάμβος εἶχεν ἐμέ, πηλίκος τὴν εὔκλειαν ἔρχεσθαι πρὸς αὐτὸν κελεύει καὶ τὰ παιδάρια. ἀλλὰ τὸ θέλειν πᾶσι διδόναι καὶ τοῦ ἁπλῶς διδόναι γίνεταί σοι παραίτιον· ἤκουσταί μοι καὶ γάρ, ὡς μοναχός τις Λακεδαιμόνιος, νέος τὴν ἡλικίαν καὶ μὴ δασεῖαν ἔχων ὑπήνην, μελα-
40 νωτέραν δὲ καὶ ἰσχνήν, τοιοῦτον γάρ μοι τὸν ἄνδρα τοῦτον ἡ ἐφ' ἅπαξ θέα

34 8–9 Die in [ ] gesetzten Buchstaben sind wegen einer Lücke des Papiers abhanden — 9–10 Die Worte πίθου — τῷ bilden die letzte Linie des Bl. 12a; sie sind nur teilweise vorhanden, da der untere Rand desselben abhanden gekommen ist und in späterer Zeit mit einem Papierstück ergänzt wurde, jedoch ungeschikt, so daß die Worte der fraglichen Linie teilweise von diesem Papierstück der Ergänzung bedeckt wurden. Die Punkte stellen gleichzählige Buchstabe dar, die wegen einer Lücke des Papiers völlig abhanden sind.

τῷ μνήμονι ἐζωγράφησεν, ᾐτήσατό σε μονὴν περὶ τὸ δυτικὸν τέρμα κειμένην τῆς λίμνης τοῦ Ἀνατολικοῦ, εἰς ὄνομα δὲ τιμωμένην τῶν Ἀσωμάτων καὶ κατεχομένην ἕως καὶ δεῦρο παρὰ τῆς πενθερᾶς τοῦ Ἀρχοντίτζη, ἀπὸ γραφῆς ἡμετέρας. καὶ αὐτός, ἐκ τοῦ θέλειν πᾶσι διδόναι πολυπραγμονήσας μηδέν, γραφὴν ἐποιήσω πρὸς τὸν τὴν κατοχὴν ἐνεργοῦντα Βαρὺν παραδοῦναι τῷ μοναχῷ τὸ μονίδιον, μὴ πολυπραγμονήσας, μὴ δοκιμάσας ὡς, εἰ πάντα καὶ ἱερὰ καὶ δημοτικὰ ὑπὸ τὴν ἐξουσιάζουσαν ἔσται χεῖρα, τίνα διοικονομήσονται οἱ ἐπίσκοποι; καῖσαρ δὲ καὶ θεὸς παρὰ τοῦ θεοῦ καὶ σωτῆρος ἀπολαμβάνειν τὰ οἰκεῖα ἐδικαιώθησαν. ἢ γοῦν κατὰ τοὺς ἀνωτέρω λόγους καὶ τὴν ἄφετον δόσιν τὴν γραφὴν ἐνεχάραξας, ἢ τὰ ὦτα ὑπὸ μυρίων καταβροντώμενος τῇ πράξει ταύτῃ οὐκ ἐπεστάτησας. ἡμᾶς δὲ φιλῶν φίλει μᾶλλον ἐν πράγμασιν· οὕτω γὰρ τιμήσεις ἱερωσύνην καὶ τὴν κατὰ πνεῦμα σὴν τιμήσεις πραότητα, τὰ σὰ διοικονομούμενος καὶ τῶν ἐπισκοπικῶν τοῖς ἐπισκόποις παραχωρῶν. τὸ δὲ βαλανεῖον, εἰ ἐπιζήσω, συντομώτατα καταλούσει με· εἰ μὲν καὶ πρῶτον, ἔσται τὸ εἰς ἡμᾶς λοῦμα ὡς ἀπαρχὴ τῶν λουμάτων, εἰ δὲ μεθ' ἑτέρους, τὴν ἡμετέραν βραδύτητα μεμψόμεθα. γίνοιό μοι ὡς ἐγὼ θέλω· θέλω δὲ ὡς αὐτὸς ἐπ' ἐμαυτῷ. ζωὴν δέ σοι καὶ ψυχῆς ἄνεσιν καὶ τὴν κατὰ κόσμον εὐετηρίαν πάλαι προεπηυξάμην.

35

Bl. 13 b

Πρὸς τὸν μητροπολίτην Λαρίσσης.

Ὁ ὑπὸ σὲ Γαρδικίων οὗτος ἀέλπτως ἀφίκετό μοι καὶ ἐπεσκέψατό με νοσοῦντα· μακρὸς δὲ ἐξότου καιρὸς πολυειδέσιν ἀῤῥωστίαις ἐνέκυρσα καὶ πάρεργον καταλέγειν τὰς διαφορὰς τῶν ἀῤῥωστημάτων, πλὴν ὅτι, δεχὰς ἐγενόμην νόσων παντοδαπῶν. ἐρωτώμενος δὲ τὴν αἰτίαν τῆς ἐπισκέψεως, μνημόσυνον, εἶπε, εἶναι τὴν ἄφιξιν τῆς ἐπ' αὐτῷ σπουδῆς ἐμῆς εἰς προαγωγὴν ἐπισκοπικὴν καὶ τῆς ἀκολούθου χειροθεσίας καὶ τὸν ἄνδρα ἐπῄνεσα, ὡς οὐκ ἀπέῤῥευσε μνῆστις αὐτοῦ τῶν ἐπ' αὐτῷ σπουδασμάτων τούτων ἐμῶν· προςήγγειλε δέ μοι, ὡς ἡ ἱερά σου ψυχὴ ἀνίαν ἔχει, μὴ δεχομένη μου γράμματα, ἔνδειξιν φιλίας τὰς ἐπιστολὰς ἡγουμένη καὶ ψυχικῆς διαθέσεως. ἀλλ' αἱ νόσοι, ἀλλὰ τὸ διατειχίζον ἀμφοτέρους ἀπότομον ὁδοιπόρημα, οὐδὲ διὰ γραμμάτων ἐῶσιν ἀλλήλοις προσομιλεῖν· καὶ ὅ φησιν ὁ Ἡσίοδος περὶ τῆς αὑτοῦ πατρίδος, τῆς Ἄσκρης, ὡς θέρει μὲν ἀργαλέη, χεῖμα κακή, οὔποτ' ἐσθλή, ταῦτα καὶ αὐτὰ ἐρεῖς σὺν ἐμοὶ τὴν διείργουσαν ἡμᾶς ὑπάρχειν ὁδόν. ἄλλως τε καὶ καιρός, ἀφ' οὗ δεξάμενος γράμμα σου καταλέγον τὰ εἰς μέσον εὐεργετήματα καὶ τὰς εἰς σὲ πονηρὰς ἀνταποδόσεις ἐμὰς ἀντὶ τοσούτων ἀγαθῶν, ᾐδέσθην τε, ὡς εἰκός, καὶ ταὐτὸν ἔπαθον, ὁποῖον πάσχουσιν οἱ ἐμβρόντητοι, κωφεύουσι γὰρ καὶ τὸ φθέγμα ἐπέχονται, καὶ εἶπον, ὡς οὐ μὴ λαλήσω ἀπάρτι, οὐδὲ παῤῥησιάσομαι λόγῳ· καὶ οὐδὲ νῦν, εἰ μὴ σφοδρῶς

35 [15] *καταλέγοντα*

20 ὁ Γαρδικίων ἀπήτησε τὴν γραφήν. χαῖρε γοῦν μοι καὶ μέμνησό μου· εἰ μὲν ἐν ἀγαθοῖς, εὐγνώμων εἴης εἰς τὸν Ναυπάκτου, εἰ δ' ὅτι κακεργάτης ἐγὼ τὰ εἰς σέ, ἀλλὰ χριστομιμήτως ποιήσεις μὴ μόνον τοὺς ἀγαθούς, ἀλλὰ καὶ τοὺς βλαπτικούς, ὡς ἐγώ, ἐν μνήμῃ τιθέμενος ἀγαθῇ πάντως. ἡμᾶς δὲ ἴσθι πολυμερῶς κακυνομένους καὶ πολυτρόπως, καὶ τὸ φθέγμα τοῦτο τελευταῖον 25 ἴσως ἐσεῖταί σοι πρόσφθεγμα· καὶ συγκαταβήσεταί μοι πρὸς ᾍδην ἅπαν κακὸν καὶ τὸ πρὸς τοὺς εὐεργέτας, ὡς σύ, ἀγνῶμόν τε καὶ ἀχάριστον. τὸ δὲ παρόν, ἵλεως ἀμφοτέροις εἴη ὁ Κύριος, ὑπὲρ ὧν τε αὐτὸς εἰς ἡμᾶς εἰργάσω καλῶν καὶ ὧν ἡμεῖς εἰς σὲ τὸν εὐεργέτην πεπαρῳνήκαμεν. ἐντεύξεις δέ μοι δαψίλευε πρὸς θεόν, ὡς ἐπιγνῶ ποτε ἑαυτὸν καὶ γένωμαι τῶν βελτίστων· 30 εἰ δὲ καὶ τὰ τῶν νόσων ταύταις κουφίσεις, ἐσεῖταί σοι καὶ κουφοτέρα γλῶσσα ἐμοὶ πρὸς εὐχαριστίας δαψίλειαν.

36

+ *Πρὸς τὸν λογαριστὴν κῦρ Ἰωάννην τὸν Κωστομοίρην* Bl. 13

Ἀλλ' οὐδὲ πρώην ἠγνόουν ὁποῖος ὁ ἐμὸς Μεσοποταμίτης περὶ τὴν σοφιστικὴν κομψείαν καὶ τὴν ἀκριβῆ λεκτικήν, ἐγνώρισε δέ μοι τοῦτο καὶ ἡ χθὲς καὶ πρὸ τρίτης πεμφθεῖσα γραφή, ἐπασσύτερα, τοῦτο δὴ τὸ ποιητικόν, τὰ 5 ἐνθυμήματα ἔχουσα καὶ τὸ τῶν κυμάτων ἀλλεπάλληλον παρεοικυῖα εἰς πύκνωσιν, ἡνίκα τε εὖρος τε νότος τε ζέφυρός τε δυσαὴς καὶ βορέης αἰθριγενέτης μέγα κῦμα κυλίνδων ἄλλῳ ἐπ' ἄλλῳ κῦμα κυρτοῖ, τὰ πάντα δ' ὅμως εἰς μίαν χέρσον ἐκπτύεται. ὁποῖος καὶ ὁ σὸς κυματόεις λόγος πρὸς τὴν ἄντικρυς χέρσον ἐμέ, διὰ τὴν λογικὴν ἀνικμότητα πολλὰ τῶν ἐνθυμημάτων 10 ἀπηρεύξατο κύματα, γλυκερὰ μέντοι, διὰ τὴν λέξιν, διὰ τὴν φράσιν, ἁλυκὰ δὲ ἄλλως, ὡς ἄνω καὶ κάτω τὸ γράμμα διεξῄει μοι περὶ ἅλατος· καὶ ὡς τὸ τοῦ ἀποστόλου εἰπεῖν, ἦν ὁ λόγος ὅλος ἅλατι ἠρτυμένος, καὶ ἔστυφε μὲν τὴν ἡμετέραν λογικὴν || γευστικήν, ἀλλὰ τὰ γλυκύτερα παραρτύματα τῶν σῶν Bl. 14 ἐνθυμημάτων τῶν λέξεων ὑπεγλύκαινέ πως αὐτὴν καὶ πρὸς τὴν τοῦ λόγου 15 γεῦσιν ἠρέθιζεν· οὕτως ἡμῖν παρέθου ἅλας τούτους λογικοὺς εἰς ἑστίασιν, οὓς καὶ αἰδοῦμαι, ὡς τῆς ἀμφοτέρων φιλίας συνεκτικοὺς καὶ καλῶς τοὺς φίλους ἁλίζοντας. πρόσχες δέ, μὴ τῷ καιρῷ τὰ περὶ ὧν ἐδήλωσας ἐμωράνθησαν ἅλατα, ἔπομβρος γὰρ ὁ καιρὸς καὶ τήκονται οὗτοι, καὶ τὸ τῆς δημοτικῆς παροιμίας, ἁλῶν ὁ φόρτος ἔνθεν ἦλθεν, ἔνθεν ἐξέβη, πρὸς τὴν μητέρα 20 θάλασσαν δηλαδή, ἐξ ἧς αἱ χιονώδεις αὗται σωρεῖαι συνίστανται καὶ πρὸς αὐτὴν ἀναλύουσιν. οὕτω τὸ γράμμα ἠλάττωτό τε καὶ ἐγλυκαίνετο· καὶ ἐρευνῶντί μοι πρόσγειον ἐφαίνετο καὶ μετάρσιον οἷς ἐγκατέστρωτο τῇ γραφῇ, ἅλας, γεῶδες δὲ τοῦτο καὶ βαρὺ κατὰ γῆν, καὶ πετεινὰ πτερωτά, ἀεροπόρα δὲ ταῦτα, καὶ κατ' αὐτὰ ἡ γραφὴ πρὸς ὕψος ἐννοίας, πρὸς ἔπαρσιν 25 λέξεως, ἀνεκουφίζετό τε καὶ ἀνεφέρετο. περιεκτύπουν δέ με καὶ βύρσαι, ὅτι

35 [22] χρηστομιμήτως — [25] ἄρδην — [31] εὐχαριστείας
36 [1] κοςομρ' — [8] κυματώησ — [9] ἀντίκρυσ — [10] ἀπηρρεύξατο — [11] διεξῆειμοι

καὶ ταύτας ὑφείλετο ὁ Νεόφυτος, καὶ ἔδοξέ μοι τὸ ἐκ βυρσῶν περικτύπημα ὡς ἀπ' οὐρανοῦ ποιητοῦ τῶν τῆς σῆς λογίας κεφαλῆς ἀκροστέγων εἰς τὴν ἐμὴν ἀκουστικὴν καὶ ὑπηχοῦν καὶ βροντᾶν· χάριν γάρ σοι καὶ τῇ φιλίᾳ διδούς, τὸν παλαιὸν Σαλμωνέα ἐς κόρακας ἀποπέμπομεν, ὅτι ὡς ἀπὸ βύρσης ἐβρόντα, ὡς θεὸς νομισθῇ. πλὴν ἴσθι, φίλη ψυχὴ καὶ λογία, ὡς τὸ μετα- 30 *κομισθὲν εἰς Ναύπακτον ἅλας τόσου ἦν ἀνταλλάγματος, ὡς εἴ τις ἡμισεύσας στατῆρα χρυσοῦ, τῷ τῶν τμημάτων ἑνὶ τοσοῦτον ὠνήσεται. καὶ τὸ χρέος ὁμολογῶ καὶ ὀφείλω τῷ φίλῳ ἑνὸς χρυσίνου τὸ ἥμισυ, τὴν μεγάλην ταύτην εἰπεῖν κατὰ σὲ ζημίαν καὶ δύςφορον· ἀλλ' ἔῤῥωσό μοι καὶ ποίει ὅπερ ἐγώ· μέμνημαι γάρ σου καὶ τὴν ἐν λόγοις σὴν ἀρετὴν ἀποθαυμάζω καὶ σύνεσιν.* 35 *θείαν δὲ πραγμάτων ἀναδεδεγμένος φροντίδα, καὶ ἱεροπρεπῶς διοίκει αὐτά. ἐγὼ δὲ τότε προβαλοῦμαι ἐπίσκοπον, ὅταν σὺ κατανεύσῃς· ὁρᾷς ὅσος εἰμὶ περὶ σὲ καὶ φίλος καὶ πληρωτὴς τῶν σῶν ἐντολῶν, ἀλλὰ καὶ ἐπανασώζομαί σοι ἐν τάχει καὶ ἑτοίμαζέ μοι ξενίαν.*

37

Bl. 14 a

Πρὸς τὸν Βοθρωτοῦ +

Βορέης μὲν αἰθριγενέτης, ὡς τῷ ἐπιστολίῳ τὰ ὁμηρικὰ προκεντήσαιμι, μέγα κῦμα κυλίνδει, ὁπότε καταπνέει τὴν θάλασσαν· τὸ πνεῦμα δὲ τῶν πραγμάτων, ὥς τις ἑλλησποντίας καταβαῖνον λαμπρός, τὴν μὲν τοῦ βίου θάλασσαν ἐκ τῶν πυθμένων ἀναταράσσει μοι, κωφὸν δέ μοι κῦμα ὀγκοῖ καὶ προςαράσσει 5 *κυλίον, οὐμενοῦν ἡμέροις αἰγιαλοῖς ἔνθα ψάμμος λεπτὴ μετάννυσται γαμικῶς καὶ ἔστιν οὗ καὶ τὸ σώζεσθαι, ἀγχιβαθέσι δὲ ταῖς ἀκταῖς, ἐν αἷς ῥαχίαι προςεπιφέρουσι καὶ τοὺς ἐχίνους εἰς ὀξυβελεῖς ἐντείνονται προςβολαῖς, ὡς ἐντεῦθεν τὸν κυβερνήτην ἐμὲ τοὺς ὑπ' ἐμὲ εἰς μοῖραν ἀποτεταγμένους ναυτῶν, ἅπαντας τῇ βίᾳ συῤῥήγνυσθαι καὶ συντρίβεσθαι. ἀλλὰ τὴν μὲν ἐμὴν* 10 *ναυτίαν ὅση ἐκ νόσων, ὅση μοι ἐκ τοῦ τῶν θλίψεων κύματος, οὔ μοι δοκῶ ῥητέα εἶναι ἐς δεῦρο· τὰ δὲ τῶν ἐμῶν συμπλωτήρων ὁ παρὼν πιστώσεταί σε ἐμός, ὃν καὶ μέχρι σοῦ ὀχληρία καὶ κίνδυνος ἀποπτωθῆναι παρεβιάσατο. τοῦτον οὖν ἐγὼ τῇ σῇ χειρὶ ἐπίκαιρον παρατίθημι, ὡς ἀρτοδοτήσῃς μόνον τὸν παῖδα, ἕως γράμματι δευτέρῳ τοῦτον ἀνακαλέσομαι· δυνήσεται δὲ καὶ* 15 *τὸ τῆς μελάγχουν ταύτης ἀπόξενον καὶ ὡς τὰ πολλὰ πολλοῖς ἀδιόδευτον τὸν παῖδα τοῦτον παραφυλάξαι καὶ ἐν ἀποκρύφῳ τῆς σκηνῆς σου σκεπᾶσαι αὐτόν. ἐκ δὲ τῶν γεγραμμένων ἔχεις σκοπεῖν, ὡς ἐμοὶ μὲν ἐν φροντίδι ἔστιν ὁ νεανίας καὶ ὡς βαρύ τι τούτῳ προὐξένησε τὴν ἀπόστασιν* +.

38

Bl. 14 a

Τοῦ αὐτοῦ πρὸς τὸν κραταιὸν Κομνηνὸν +

Ἡμεῖς δέ, κράτιστε Κομνηνέ, οἱ μήτε καθέδρας ἔχοντες, μήτε κλῆρον, μήτε

36 [28] *γ(ὰρ) σὴν*
37 [6] *γαμμῖκῶς* — [9] *κυβερνῖτην* — [16] *μελαχουν*

ναόν, ὡς ἀθροίζεσθαι μὲν ἐν τούτῳ, μετὰ συμφωνίας δὲ τὰ πρὸς θεὸν ἀναφέρειν ὑπὲρ τῆς σῆς εὐοδώσεως, ἆρα καὶ τοῖς ψυχικοῖς κινήμασιν ἡσυχά-
5 ζομεν καὶ διὰ τοῦτο οὐκ ἀλαλήτως ὑπερευχόμεθά σου τῆς κραταιότητος; καὶ πῶς ἂν ὁ καρδίας || καὶ νεφροὺς ἐτάζων θεὸς ἵλεον ἐφ' ἡμᾶς ἐπιβλέψει, οὕτω Bl. 14 τοῦ κοινοῦ καταμελοῦντας καλοῦ καὶ μηδὲ κατὰ τὸν ἐντὸς καὶ ἀθεώρητον ἄνθρωπον ὑπὲρ τοῦ σοῦ κράτους, ὑπὲρ τοῦ σοῦ στρατοῦ ὁμιλοῦντας καὶ διαλεγομένους αὐτῷ; καθά ποτε καὶ Μωϋσῆς ποιεῖν πρὸς τὸν θεὸν ἀναγέ-
10 γραπται, δεόμενος ὑπὲρ τοῦ λαοῦ καὶ τῆς σωτηρίας τοῦ Ἰσραήλ, ἡνίκα καὶ θεός, ταῖς ἐκείνου κεκρυμμέναις ἱκεσίαις ἐπικαμφθείς, τί βοᾷς, φησί, πρός με τῷ νοερῶς ἐντυγχάνοντι; κατὰ ταῦτα καὶ αὐτὸς θεὸν ἐπὶ καρδίαν ἐπικαλοῦμαι σύμμαχον παρεῖναί σοι καὶ συστράτηγον καὶ συμπολεμοῦντα τῷ ἡμετέρῳ δημαγωγῷ καὶ κατὰ Μωσέα καὶ Ἰησοῦν τὰ βάρβαρα καταβάλ-
15 λοντι ἔθνη καὶ τὸν ἡμέτερον πλατύνοντι κλῆρον. καὶ γένοιτο τὰς μὲν ἡμετέρας ταύτας ὑπὲρ σοῦ προσευχὰς κατευθυνθῆναι ὥσπερ θυμίαμα ἐνώπιον τοῦ θεοῦ, σὲ δὲ νικητὴν ἀποδοθῆναι ἡμῖν, ἐφ' ἅρματος τροπαίων ὀχούμενον καὶ κεφαλὴν καὶ βραχίονας κατὰ τὸν πάλαι τύπον ὑπὸ πολλῶν στεφανούμενον. παρεδήλωσε δέ μοι τὸ κράτος σου, ὡς ὁρισμὸν ἀπέστειλας τῷ αὐτα-
20 δέλφῳ σου ὑπὲρ ἀπολυτρώσεως τῶν σῶν μὲν δούλων, ἐμῶν δὲ κληρικῶν. ὁ δέ, τὴν σκληρότητα μιμούμενος Φαραώ, ταπεινοῖ καὶ ἔτι αὐτοὺς ἐν πτωχείᾳ καὶ σιδήρῳ· καὶ δέον εἶναι λογίζομαι, πληγῆναι τοῦτον καὶ δευτέρᾳ πληγῇ παρὰ σοῦ τοῦ ἡμετέρου δημαγωγοῦ. καὶ γενοῦ μὴ μόνον οἷς ἐφίστασαι λυτρωτής, ἀλλὰ καὶ ὧν ἀφίστασαι ἐλευθερωτής, ἵνα παρ' ἑκατέρου μέρους τὰ
25 τῆς εὐχαριστίας σοι ἀναπέμπωνται· καὶ γενοῦ μοι τῷ γέροντι θερμότερος πρὸς ταῦτα ἐπακουός· χαρίσῃ γάρ μοι τὰ μέγιστα, ψυχὰς ἀπαλλάξας τυραννικῆς τοιαύτης κακώσεως. ἡ ἀντίληψίς σου χαρισθείη μοι πολυχρόνιος.

39

+ Τοῦ αὐτοῦ πρὸς τὸν πανιερώτατον ἐπίσκοπον Βελᾶς, ἐρωτήσαντα διὰ Bl. 14 γραφῆς, εἰ δίκαιόν ἐστι διαζευχθῆναι τὸ μέσον τοῦ Φραγγοπούλου συστὰν συνοικέσιον καὶ τῆς θυγατρὸς τοῦ Παραδεισιώτου, διὰ τὴν τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα ἔμμονον καὶ πολυχρόνιον κάκωσιν +

5 Πανιερώτατε Βελᾶς καὶ ἐν κυρίῳ συνάδελφε· ἐδεξάμην γραφήν σου ἐρωτῶσαν περὶ τοῦ συστάντος συνοικεσίου μέσον τοῦ Φραγγοπούλου κῦρ Θεοδώρου καὶ τῆς θυγατρὸς τοῦ Παραδεισιώτου τῆς κυρᾶς Εὐφημίας, ὅτι πρὸ χρόνων ἤδη ἑπτὰ προβάντος τοῦ συναλλάγματος, ἐξ ἐκείνου καὶ ἐς δεῦρο τὰ πρόσωπα ταῦτα, ἀστόργως πρὸς ἄλληλα ἔχοντα, οὔτε συνέρχονται, οὔτε
10 συνέσεσθαι δύνανται· καὶ ὅτι ὁρισμῷ προσκυνητῷ κομνηνικῷ κατὰ συστάδην ἐπὶ σοῦ καὶ διαφόρων προσώπων τρακταϊσθείσης τῆς ὑποθέσεως, προεκομίσθη παρὰ τοῦ Φραγγοπούλου, δεῆσαν οὕτω, καὶ τὸ γαμήλιον σύμφωνον,

38 [17] ὀχόμ(ενον) — [21] ταπεινοῦν — [25] ἀναπέμποντ(αι)

39 [3] παραδεισῖτ

τὸ ἐπὶ τῇ ἐκδόσει τῆς κυρᾶς Εὐφημίας· καὶ εὕρηται προταγὴ ἐν αὐτῷ τοῦ Παραδεισιώτου καὶ σιγνογραφία τῆς αὐτοῦ γυναικός, τῆς δέ γε παιδὸς οὐδαμοῦ. καὶ ἠρώτησας, εἰ ἐκ τούτου δύναται διαλυθῆναι τὸ συνοικέσιον. καὶ 15 *ἔδει καὶ τὴν σὴν ἱερότητα καὶ τοὺς λοιποὺς ἀδελφούς, ἐν εἰδήσει ὄντας τῇ χάριτι τοῦ θεοῦ καὶ τῶν νόμων καὶ τῶν κανόνων, ἀφ' ἑαυτῶν τὰ κατὰ τὰς ἰδίας ἐνορίας οἰκονομεῖν, ἐμοὶ δὲ πράγματα μὴ παρέχειν, ἐλάσαντι μὲν εἰς γῆρας βαθύ, κατακορεῖ δὲ ὄντι καὶ νόσων καὶ θλίψεων, καὶ τὴν ἐπὶ τοῖς τοιούτοις μνημοσύνην ἐντεῦθεν ἀποβαλόντι, ἥν μοι καὶ χρόνος ἔμπροσθεν* 20 *καὶ βραχεῖα εἴδησις ἐνεποίησεν. ὅμως, ἵνα μὴ τῶν εὐαγγελικῶν ῥημάτων ἀπεναντίας βαδίζωμεν, διδόαμέν σοι, αἰτοῦντι, ἀπόκρισιν, καὶ κρούοντι, τὴν τῶν χειλέων θύραν ἀνοίγομεν. καί φαμεν, ὅτι τὰς αἰτίας, ἐξ ὧν τὰ συνοικέσια λύονται, πόσαι καὶ ποῖαί εἰσιν, καὶ σὺ μὲν ἀκριβῶς γινώσκεις, εὕρηται δέ που ἐν πράξει συνοδικῇ, ἐκφωνηθείσῃ ἐπὶ τοῦ τῆς ὁσίας μνήμης ἁγιω-* 25 *τάτου πατριάρχου Κωνσταντινουπόλεως κῦρ 'Αλεξίου, ὅτι πολλάκις καὶ παρ' αἰτίαν ἀνδρὸς γίνεται συνοικεσίου διάλυσις· ἡνίκα δηλονότι βαρὺς μὲν ὁ ἀνήρ ἐστι τῇ γυναικὶ καὶ δυςπρόςιτος καὶ ἀναιτίους αἰτίας ἐπάγων αὐτῇ, αὕτη δὲ ἐκκακοῦσα, ἔκ τε βαρυθυμίας, ἔκ τε τῆς συνεχοῦς ἐπιπλήξεως, εἰς ἀπώμοτον τίθεται τὴν μετὰ τοῦ τοιούτου συμβίωσιν· ἡνίκα δηλονότι καὶ τὰ ἐς* 30 *αὐτὴν ἀπρονόητά ἐστι τῷ ἀνδρὶ καὶ τὸ πᾶν ἀνεπίσκοπα καὶ τὸ δι' ὃ καὶ γάμος* Bl. 15 a *ἐνο ‖ μοθετήθη καὶ σύζευξις ἀπρακτεῖ παρ' αὐτοῖς, κἀντεῦθεν παρεισέρχεταί πως ἡ τοῦ συνοικεσίου διάστασις. ὡς δὲ καὶ τῆς ἐπὶ τούτοις ἐπιμνησθῆναι συνοδικῆς ἐκφωνήσεως, ἔχει οὕτως ἐν μέρει: «αἱ παρὰ ἀνδρῶν παρασχομένων τὴν αἰτίαν ἀπολυθεῖσαι, εἰ γήμασθαι βουληθεῖεν, καὶ αὗται ἀνέγκλητοι καὶ* 35 *οἱ εὐλογοῦντες ἱερεῖς· ὡσαύτως καὶ ἐπὶ ἀνδρῶν». πρόσχες οὖν, τίς ἀπὸ τῶν δύο τούτων βαρέως τῷ ἑτέρῳ προφέρεται, ὡς μὴ δύνασθαι τὸ βαρυνόμενον μέρος τὴν τοῦ βαρύνοντος ὑπομένειν ἀπέχθειαν, καὶ παρὰ τοῦτο καὶ ἀφίστασθαι τούτου καὶ ἐμμίσως ἔχειν αὐτῷ καὶ ἀσυνδυάστως· καὶ ἐφ' ᾧ τῶν μερῶν εὑρήσεις κατωῤῥεπῆ τὴν τῆς τρυτάνης βαρύτητα, τοῦτο τῆς αἰτίας ἀπό-* 40 *λυσον καὶ τοῦ ἑτέρου διάζευξον, ὡς μὴ τῷ τοῦ μίσους πλεονασμῷ καὶ φόνου μῖσος μέσον αὐτῶν ἐπιτελεσθῇ. καὶ ἡ μὲν συνοδικὴ πρᾶξις τοῦτον ἔχει τὸν νοῦν· ἐν τίτλῳ δὲ τῶν βασιλικῶν Θ̄, βιβλίῳ κη̄, κεφαλαίῳ ζ̄, οὕτω περὶ συναλλαγμάτων κεῖται ῥητῶς· «οὐ γίνεται γάμος, εἰμὴ συναινέσουσιν οἱ συναπτόμενοι καὶ οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους». τὸ δὲ* οὐ γίνεται 45 *τοῦτο ὑποκεκρυμμένην ἔχει τὴν ἔννοιαν, ὅτι καὶ γενόμενον πάντως παρὰ τὴν τοῦ νόμου ταύτην διάταξιν εὐκόλως λυθήσεται· ὃ γὰρ ὅλως οὐ γίνεται, πῶς γενόμενον στάσιν ἕξει ἀμετακίνητον; ἐπειδὴ δὲ καὶ διὰ τῆς ἐρωτικῆς οἱ συναπτόμενοι ἀνακράσεως μία γίνονται σάρξ, πῶς οἱ μὴ συμφωνήσαντες ἀλλήλοις ἐν τῇ ἑνιώσει καὶ ἐρωτικῶς πρὸς ἀλλήλους ἕξουσι καὶ μία ἔσονται* 50 *σάρξ; καὶ παρέοικε τὸ τοιοῦτον ἀθεμελίῳ οἰκήματι, ὅ, σεισμοῦ ἀμυδροῦ*

39 [29-30] *εἰαπώμοτον* — [32] *κἀντεῦθεν* die Buchstaben: *κἀν* teilweise wegen Lücke des Pergaments nicht vorhanden — [34] Die Buchstaben: *ἔχει* wegen Lücke des Pergaments nur zum Teil vorhanden — [46] *ὑποκεκρῖμμ(έν)ην*

τοῦτο τινάξαντος ἢ πνεύματός ποθεν ἐπιπνεύσαντος, εὐθὺς καταπίπτει, διὰ τὸ μὴ πρότερον βαρωθῆναι· διὰ γοῦν ταῦτά φημι καὶ τὸ συνάλλαγμα τοῦτο διαλύσεως ἄξιον. ταῦτα ἡμῖν ἐκ τοῦ ἀμελετήτου ἐγράφη σοι, γήρᾳ βαρου-
55 *μένοις καὶ νόσοις, ὡς ἀνετάχθη, καὶ θλίψεσιν· σὺ δέ, λαβὼν ἀφορμήν, ἔσῃ πάντως τὰ περὶ τὴν ὑπόθεσιν ἐξεταστικώτερος καὶ ἀκριβέστερος τὰ εἰς τὴν αὐτῆς διευλύτωσιν· καὶ ἔῤῥωσό μοι τίμιε δέσποτα καὶ μέμνησό μου τῆς ταπεινότητος· + μηνὶ σεπτεμβρίῳ ἰνδικτιῶνος Ι′ +*

40

Τοῦ αὐτοῦ πρὸς τὸν πρωτοβεστιάριον νόσῳ περιπεσόντα καὶ δὶς πιόντα καθάρσιον.

Εἰς ὑγείαν σοι τὰ καθάρσια, ταύτην καὶ ἡμῖν αὐτὸς εὖξαι· ἠγγίσαμεν γάρ σοι, πλὴν τοῦ διείργοντος ἀμφοτέρους θαλαττίου κόλπου καὶ τῆς μετ' αὐτὸν ἐς
5 *Ἄρταν ὀλιγοπόρου ξηρᾶς. ἐν τούτῳ δέ, ὀλίγα τοὺς ἰατροὺς ἐπαινῶ, ὅτι σώματι κατίσχνῳ τῷ σῷ, ἐν ὀλιγοδιαστάτῳ τῇ περιόδῳ, δὶς ἐκέρασαν ὡς ἔμαθον φάρμακα· οἶδε γὰρ ἡ ἐσάκρον τέχνη αὐτῶν, ὡς τὰ φάρμακα ταῦτα, τῶν περιττωμάτων ὄντα κενωτικά, ἐπὰν αὐτὰ μὲν κενώσῃ, ἔτι δὲ ἡ τούτων δύναμις ἐνεργὸς καὶ τῶν χρηστοτέρων πάντως ἐφάψεται· οὐδὲ γὰρ ἂν τὸ*
10 *τούτων ἐνεργόν, ἐν τούτῳ μέρει μενεῖ ἀνενέργητον, καὶ τὸ λυποῦν ἐκκενῶσαν καὶ τῆς ἐνεργείας ἤδη πεπαύσεται· δεῖ γὰρ τὸ ἐνεργὸν ἔν τινι ἐνεργεῖν, ἐς τόσον δὲ ἐνεργήσει, ἐφ' ὅσον τὸ ἐνεργοῦν, τῇ τοῦ ἐνεργουμένου δυνάμει ἔσται ἰσόποσον, ταύτην δὲ ὑπερβὰν ἐν τῷ συγκειμένῳ προσενεργήσει· καθά που καὶ πῦρ, ταύτην ὕλην τεφρῶσαν, τῆς παρακειμένης ἐπιλαμβάνεται καὶ*
15 *τὰ φάρμακα, περιγεγονότα τοῦ περιττοῦ, καὶ πρὸς τὰ τῶν σωμάτων ἐνεργοῦσι συστατικά. ἀλλὰ ταῦτα φιλοσοφείτωσαν ἰατροὶ καὶ τῶν ἀσκληπιαδῶν οἱ σοφώτεροι· ἡμεῖς δὲ βουλόμεθα πάντα χρηστά· περὶ δὲ τῶν ἡμετέρων οὐδὲν προστίθεμεν τῇ γραφῇ, ὡς μὴ ἐκ τῶν πρὸς ἡμᾶς ἀντιγράφων ἑαυτοῖς πολυπλασιάσωμεν τὸν κατάγελων +*

41

Πρὸς τὸν Γοριανίτην κῦρ Νικόλαον

[Der Text fehlt.]

42

[Der Eingang fehlt.]

ζυγὸν ἐκ νεότητος· εἰ δὲ καὶ νεότητα, πρέπον παρατιθέναι καὶ γῆρας, τὸ μὲν ἀφαιρόντι πάντως καὶ ὀκλάζον ὡς τὰ πολλά, νεότης δὲ δυναμικόν τι πρᾶ-

40 [1] *ἀ͡βϊςϊάρ′* — [8] *κενώσει*

γμα καὶ πρὸς τὰ πρακτικὰ προθυμότερον καὶ πρὸς ὃν ἂν ἕληται βίον, καὶ θερμουργὸν καὶ εὐκίνητον· ἀλλ' ἐάσθω ταῦτα· χαῖρε δέ, ὅτι τὴν πρὸς θεὸν οἰκείωσιν δῶρον ἔλαβες ἀῤῥωστήματος καὶ σύνευξαι πᾶσιν, ὅσοι φι- 5 λοῦσί σε, τοιαύτης ἐπιτυχεῖν καὶ τοὺς τῆς ἐγέρσεως χαμαὶ κειμένους ὥσπερ ἡμεῖς, καὶ βίῳ φαύλῳ, καὶ πράξεσιν. εἰ δὲ τὸν κόσμον βλέπεις καὶ τὰ τούτου ὑψώματα, τιμάς τε καὶ εὐκληρίας καὶ ὅσας ἑτέροις τὸ ἀνθρώπινον κλέπτεται, ἀλλὰ βλέπε καὶ τοὺς ἀράχνας, ὧν τὸ νῆμα πάνυ λεπτὸν καὶ παν- ευκόλως λυόμενον. ἐγὼ τέως ζηλῶ σε τῆς μεταβολῆς, ζηλῶ σε τοῦ σχήμα- 10 τος καὶ τὸ πλέον ὡς ἐν νεότητι καὶ οὐκ ἐν ὁδῷ γήραος. λυγροῦ ὑπὸ Κυρίου προσειλημμένον, ὅτε ἀδυνατεῖ μὲν ἡ φύσις, τροχαλὸς δ' ὁ ἄνθρωπος γί- νεται, καὶ τόνος λύεται φυσικός, καὶ παραλύονται γόνατα· νεότης δὲ εὐτονεῖ καὶ ὀρθοῦται βουλομένη πρὸς τὰ καλά, καὶ δεσμὸς τοῦ σώματος ἰσχυρός, καὶ κραταιοῦται τόνῳ τὰ γόνατα· ἀνδρίζου τοίνυν καὶ ἡ καρδία σου κρα- 15 ταιούσθω, καὶ ζῶσαι ὡς ἀνὴρ τὴν ὀσφύν σου, φησὶν ὁ Ἰώβ, καὶ ἔντεινε καὶ κατευοδοῦ καὶ βασίλευε· καὶ ἀκολούθει τῷ κεκληκότι· καὶ μὴ στραφῇς εἰς τὰ ὀπίσω τοῖς λογισμοῖς καὶ διὰ τὸ χαῦνον στηλιτευθῇς· ἀλλὰ καθήσθω σοι κριτὴς καὶ ζυγοστάτης ὁ νοῦς καὶ τῆς ἐντεῦθεν ματαιότητος καὶ τῆς ἐκεῖθεν μακαριότητος· καὶ δώσει πάντως ῥοπὴν τῷ κρείττονι μέρει, καὶ τῆς εὐλό- 20 γου ζυγοστατήσεως δικαίως ἀπολήψῃ τὰς ἀμοιβάς· οὗτός σοι παρ' ἡμῶν ὁ βραχὺς παρακλητικός, εἰ δὲ βούλει, διεγερτήριος, σαλπισταὶ καὶ γὰρ οἱ ἐπί- σκοποι τὸ πνευματικὸν ὑπηχοῦντες τοῖς ἀδελφοῖς ἐνυάλιον κἀκ τῆς τοῦ πνεύ- ματος ὁπλοθήκης πνευματικῶς αὐτοὺς θωρακίζοντες· Παῦλος ὁ ἀρχιτέκτων τούτων καὶ σκευαστής, ὅπλα φωτὸς κατονομάζων αὐτά, καὶ ἡμέρας εὔσχη- 25 μον περιπάτημα. ἀλλ' εἴης μοι πρόσω βαίνων, θεῷ προκόπτων, κόσμον ἀρ- νούμενος, ἀρεταῖς ὑψούμενος, ὡς μὴ μόνον ἔχῃς διὰ τοῦ σχήματος τὸ μακά- ριον, ἀλλὰ καὶ αὐτοὺς προσοικειῶν τῷ θεῷ διὰ προσευχῶν, κἀντεῦθεν μακα- ρίους ἀπεργαζόμενος.

43

[Ohne Adressatangabe.]

Bl. 16b Ἐγὼ καὶ πρὸ τοῦ εἰς ἱερόν, ὡς ἔγραψας, ἀναχθῆναί σε λογοθέτην ἔτρεμον ἐπιστέλλειν σοι, τὸ ἀκριβὲς λογοθέσιον τῆς σῆς σοφιστικῆς ὑφορώμενος καὶ τὸ τῆς φιλοσοφίας σου ἐξεταστικὸν ὑπειδόμενος, νῦν δὲ μᾶλλον, ὅτε καὶ κλῆ- σις συντρέχει τοῖς πράγμασι· τότε γὰρ μεγάλου ὄντος σου λογιστοῦ καὶ μὴ μόνον τὰ βαθέα τῶν φορολόγων ἀνακαλύπτοντος, ἀλλ' ἤδη καὶ λόγους ἐξο- 5 νυχίζοντος τῇ ἀκριβείᾳ τῆς σοφιστείας σου περίδειλος ἦν ἐπιστέλλειν σοι. νῦν δὲ τί πάθοι ἄνθρωπος τοῦτο ποιῶν, καὶ τὴν ἱερὰν λογοθεσίαν προσειλη- φότος σου; ἢ πάντως τὸ τῶν καθ' ἡμᾶς ἁμαρτωλῶν περιδεὲς καὶ περίτρομον, Bl. 17a || ἡνίκα παραστησώμεθα τῷ κριτῇ βρύχοντες ὀδόντας διὰ τὸν τρόμον, κατὰ τὸ γράμμα τὸ ἱερόν, καὶ ὅλοι ὄντες τῷ φόβῳ, εὐμετάφοροί τε καὶ ἄστατοι; 10

42 [11] λυγρῷ — [12] τρόχαλός

καὶ βλέπεις πάντως, ὦ σὺ διπλὲ λογιστὰ καὶ λόγων καὶ πράξεων, ὡς ἐκ τοῦ φόβου τὸ γράμμα περὶ τὴν τρομερὰν ἀπέκλινε δεκτικήν, ἵν' ὥς ἐστι κατάδειλος ὁ γραφεύς, οὕτω δὴ καὶ γραφὴ καὶ λέξεις αὐταί, τὸν τοῦ γραφέως κλόνον σημαίνουσαι· σὺ δ' ὁ καλὸς τὰ πάντα καὶ ἱλαρός, εἰ μὲν μει-
15 *διῶν ἐπιδείξεις τῷ γράμματι πρόσωπον, καὶ δευτέραν ἔλπιζε τὴν ἐπιστολήν· εἰ δὲ τὴν σοφιστικὴν αὐτῷ ἐνδείξει σοβαρότητα, μηκέτι καραδόκει δευτέρωμα γράμματος, ἀλλ' οἶδα, ὡς τό τε πρῶτον ποιήσεις καὶ τῷ γήρᾳ καὶ ταῖς νόσοις προσνείμῃς τὸ συγχωρητικὸν ἐπὶ τοῖς λογικοῖς ἁμαρτήμασι· τοῦτο δέ μοι θαυμάσιον, ὅπως ἐξ Ἀνατολῶν εἰς Δυσμὰς ἐνωτίζῃ τὰ πατριαρχικὰ*
20 *παρυψώματα καὶ τὰ σφραγιστικὰ ἐκφωνήματα, ἢ ὅτι τάχα πλεονεκτεῖς εἰς ὀξυκοΐαν καὶ τοὺς ἱστορουμένους Σελλούς, τοὺς χαμαιεύνας καὶ ἀνιπτόποδας, δοῦπον ἐξ οὗ κατῴκουν ἀκούοντας Ἰκαρίοιο πόντοιο. ἐκκλησιαστικὴ δέ φησιν ἱστορία, ὡς ὁ ἱερώτατος Φαίδιμος τῆς Ἀμασέων προεστηκὼς εἰς ἐπίσκοπον ἐχειροτόνει Γρηγόριον, οὗ ἐπωνυμία τὰ θαύματα. ὁ δὲ τὴν ἱερωσύνην*
25 *ὡς μέγα τι καὶ θεῖον περιϊστάμενος οὐκέτι μὲν ἐπὶ ὁμοίοις τοῖς πράγμασιν ἀπέδρα δ' ὅμως μακράν που καὶ ὁδὸν ἡμερῶν κατὰ τὸν παλαιὸν Ἰωνᾶν· ὡς δὲ ἡ κυρία ἐπέστη καὶ ὁ μὲν ἐπὶ τοῦ θρόνου προὐκάθισεν, ὁ δὲ χειροτονούμενος οὐδαμοῦ, ὁ Φαίδιμος θαῤῥήσας τῷ πνεύματι, τοῦ θρόνου τε ἀνεκάθισε καὶ τὴν χεῖρα ἐκτείνας, «στῆθι, ἔφη, Γρηγόριε, Φαίδιμός*
30 *σε χειροτονεῖ». ὁ δὲ τῆς φυγῆς ἐχόμενος ἔτι, ἐπεὶ τὸν κτύπον εἰςεδέξατο τῆς φωνῆς ἔστη τε εἰς τὰ ὀπίσω στραφεὶς καὶ τῇ φωνῇ τοῦ χειροτονοῦντος τὴν κάραν ὑπέκλινε. τί τῶν μεγάλων τούτων ἀποδέει τὰ καθ' ὑμᾶς, ὦ μεγάλοι ὑμεῖς καὶ χειροτονητὰ καὶ χειροτονούμενε, ὅτι ὁ μὲν ἐξ Ἀνατολῶν τὰ χειροτονητήρια ἐξεφώνησας, ὁ δὲ εἰς Δυσμὰς τῶν θαυμαστῶν*
35 *ῥημάτων τούτων ἐπηκροάσατο· οὕτως ὁ τῆς ἐκκλησίας λαμπρότατος ἥλιος ὡς δίσκῳ περιγραφόμενος τῷ κατὰ Νίκαιαν θρόνῳ ἐξέπεμψέ σοι καὶ πρὸς Δυσμὰς τὴν ἱερὰν ἀκτῖνα τοῦ ἀξιώματος· ἀλλ' ὡς ἐκεῖνος ἐσφράγισεν, οὕτω καὶ σύ, ψυχὴ παρίστασο τῷ δεσπότῃ καὶ ταῖς ἑορτασίμοις τὴν ἱερὰν ἐνδύου ἐρέαν καὶ κατὰ νώτων καὶ περὶ μαζὸν καὶ λαγόνα αἰώρει τὸ ἐπί-*
40 *στενόν σου πλέγμα καὶ τὸ ἐπίωμον, ὡς καὶ μακρόθεν ἀποδιδῷς τὸ ὑπηρετικὸν καὶ τὸ εὔγνωμον· ἀνοίκειον γὰρ ἀπὸ Ἀνατολῶν σφραγισθέντα σε εἰς Δυσμάς, μὴ καὶ παραφαίνειν ἐν ταύτῃ τὰ τοῦ ὀφφικίου ἐπίσημα. ἀλλ' ἔῤῥωσό μοι θαυμάσιε, λογιστὰ χρημάτων, λόγων εὐδοκίμων ἐξεταστά, τὸ δὲ τρίτον ἱερὲ λογοθέτα, καὶ κλήσει καὶ πράγματι* +

44

[Ohne Adressatangabe.]

Κράτιστε θεοκυβέρνητε αὐθέντα μου ἅγιε, τοὺς λόγους πτερόεντας γράφουσιν οἱ σοφοί, ὡς τῇ τῶν κινήσεων ταχυτῆτι παραμιλλωμένους τοῖς πτερωτοῖς· ἀλλὰ πρὸς τὴν σὴν ὀξυπετῆ καὶ μεταβατικὴν κίνησιν κινδυνεύουσι τὴν ἕως καὶ δεῦρο πτερονομασίαν ζημιωθῆναι· ποῦ γάρ σε καὶ καταλή-

ψονται ὀλίγου δεῖν τὸ ἀπερίγραπτον ἔχοντα διὰ τὴν ταχινὴν μεταφορὰν 5
καὶ μετάβασιν; οἱ δέ γε ἐμοὶ διπλῇ τὸ ναρκῶδες ἔχουσι καὶ δυςκίνητον,
ὅτι τε ἐκ σαπροῦ διὰ τὸ γῆρας καὶ τὸν μικροῦ μαρασμόν, καὶ ὅτι νικῶν-
ται τῇ ὀξυτάτῃ μετακινήσει σου. ἐπεὶ δὲ καλῶς ποιῶν ὁ καιρὸς ἤγαγέν σε
πρὸς τὴν ἐγγὺς ἡμῶν θάλασσαν, ὡς μετὰ τῶν χερσαίων θηρῶν ἀνθρωπο-
ειδῶν καὶ τοὺς παρὰ ταύτῃ κατατροπώσῃ ἐμφωλεύοντας δράκοντας, ἐξείρ- 10
πυσα καὶ αὐτὸς τοῦ ἐμοῦ φωλεοῦ, χελώνης δρόμον πρὸς τὴν σὴν ἐρχόμε-
νος κραταιότητα· καὶ ἦλθον μέχρι τοῦ Ἁγίου Γεωργίου, ἀλλ' ὁ πολὺς χει-
μὼν τόσην μοι ἐνεποίησε τὴν τοῦ κατάρρου βαρύτητα, ὡς ἐγκλεῖσαι οἰκί-
σκῳ καὶ μηδὲ τὴν τούτου θύραν ἐᾶν παρελθεῖν. ἀλλὰ δέομαί σου μετὰ
τῆς μακρᾶς ἀνοχῆς καὶ ὀλίγην ἑτέραν χαρίσασθαί μοι, ὥστε χαυνωθῆναι 15
τὸ πάθος καὶ αὐτίκα εἰς προσκύνησίν σου καὶ θέαν καὶ ὁμιλίαν ἐλεύσομαι,
ὡς κατατρυφῆσαι τῆς γλυκειας ἐμοὶ ὄψεως καὶ λόγων ἀξιωθῆναι μεγαλο-
πρεπῶν δουκικῶν. ἡ ἀντίληψίς σου πολυχρόνιος. +

45

Bl. 17 b

Πρὸς τὸν Γοριανίτην.

Τὰς μὲν αἰτίας τῆς τῶν ἐμῶν γραφῶν ἡσυχίας ἀπελογησάμην τῷ κρατίστῳ
μου Δούκᾳ· σοὶ δέ, οὐκέτι μὲν χαίρων, ἀλλ' ἐντύχοιμι χαίροντι. ἐβαρύνθη
γὰρ ἐπ' ἐμὲ ἡ χεὶρ τοῦ θεοῦ, καὶ πολυτρόπως ἀλγύνομαι, τῷ λυπρῷ δὲ γή-
ρᾳ πλέον, ὑφ' οὗ καὶ σεσάπρωμαι, καὶ οὐδέν εἰμι κατὰ τὸν εἰπόντα. ὁμά- 5
λισον δέ μοι καὶ πρὸ τῆς ἐντυχίας τὴν τοῦ Δούκα ψυχήν, ὡς ἐντυχεῖν αὐτῇ
λείᾳ καὶ τραχὺ μηδὲν πρὸς ἡμᾶς ἐχούσῃ μηδὲ ἀνώμαλον. καὶ εἴης μοι
πολυχρόνιος, τὴν παλαιὰν φιλίαν ἀνανεούμενος καὶ τὰ ταύτῃ θεσμὰ πρε-
σβεύων ὡς τὸ προτοῦ.

46

Bl. 19 a

Πρὸς τὸν Γοριανίτην κῦρ Νικηφόρον.

Εἰς ἔννοιαν ἔρχομαι, μὴ καὶ ἀληθὴς ἡ ἑλλήνιος φλυαρία, ὅτι μοῖρά ἐστι
καὶ μίτον ἔχει καὶ ἄτρακτον καὶ ἐπινήθει ἑκάστῳ τὰ ἐκ γενετῆς αὐτῷ συμ-
βησόμενα, ὡς τυχόν, εἰ ἐπιστοιβάσει τῷ ἀτράκτῳ τὸ νῆμα, ἡνίκα τὰς μη-
τρικὰς ὠδῖνας λύσειεν ἄνθρωπος, ἐσσεῖται γὰρ οὗτος μακρόβιος· εἰ ἐπὶ κύ- 5
κλους δὲ ὀλίγους περιελίξει τοῦτο τὸν ἄτρακτον, οὗτος βραχύβιος ἔσεται.
καὶ ἄλλως ἄλλῳ τὰ βιωτικὰ ἐπινήθουσα, κατὰ τοὺς αὐτῆς ἑλιγμούς, ἀπεκ-
βαίνει δὲ τούτοις τὰ πράγματα. πῶς γὰρ ἄλλως σοὶ μὲν ἀεὶ τὸ μεταβατι-
κὸν καὶ τὸ ἔγκοπον, ἐμοὶ δὲ τὸ νοσερὸν ἀεὶ καὶ τὸ ἔμπονον; ὅτι δὲ Ναυ-
πάκτιος δόξα τοῦτο τὸ παραλήρημα, ἱερέως χείλη ἐμὰ λαλήσει ταύτην 10
ἀλήθειαν· οὐδεὶς γὰρ τῶν ὧδε ἢ εὐεκτῶν ἢ νοσῶν, ἢ πενόμενος ἢ εὐθη-
νούμενος, ἢ εὐκάρπους ἔχων ἀγροὺς ἢ τὸ τῆς γραφῆς σπείρων ἄλλος ἀρτά-
βας ἓξ καὶ τρία μέτρα ποιῶν, ἢ ἁμαρτίας ταῦτα ἡγεῖται ἀντίδοσιν ἢ

ἀντιμέτρησιν ἀρετῆς, ἀλλ' ὃ ἂν ἡ μοῖρα ἑκάστῳ ἐμοίρασε, τοῦτο ἐξ
15 ἀνάγκης αὐτῷ παραδοξάζουσιν ἐπιγίνεσθαι. τοιοῦτόν μοι τὸ λάχος μοι-
ριγενὲς καὶ πιστόμοιρον· καὶ πῶς ἔνι, μὴ τῶν ἐκ τῆς μοίρας ταύτης ἀπο-
λαύειν κἀμέ, ἐφάπαξ ἐπικλωσθέντα μοι τοῦ νοσεροῦ τε καὶ πολυτλή-
μονος. ὁρᾷς ὅπῃ δόξης κατῆλθον, ὁ διαπτύων ταῦτα τῷ εὐσεβεῖ λο-
γισμῷ καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέναι ὀφείλων καὶ ἀναθρεῖν τῷ
20 νῷ καὶ ἀναλογίζεσθαι, ὡς ὁ σπείρων ἀκάνθας, ἀκάνθας καὶ τριβώλους
θερίζει, ὁ δὲ τὰ ζιζάνια καθαίρων τοῦ σπόρου καὶ καθαρὸν αὐτὸν τῇ γῇ
καταβάλλων, τοῦτο δὴ τὸ τοῦ λόγου, θέρος δρέπεται χρύσεον· σῖτος δὲ ὁ
σπόρος τῆς ἀρετῆς· γῆ δὲ τὸ σῶμα ἡμῶν. καὶ δέον ὂν τοῦτον τὸν σπόρον
κατασπέρειν || αὐτῷ, ἵν' ἐντεῦθεν ὑγείαν, ἐκεῖθεν δὲ αἴρωμεν ἐν ἀγαλλιάσει τὰ Bl. 19
25 ἡμέτερα δράγματα. ἀλλ' ἐκ τοῦ ἐναντίου σπόρου τὰ ἐνάντια πάντως θερίζο-
μεν, νόσοι ταῦτα καὶ πόνοι, οἵ με κατεμερίσαντο. τὰ ἄρθρα τῶν ποδῶν ἀργὰ
παρ' ἐμοί, καὶ πόδας μὲν ἔχω, ἐνέργειαν δὲ ποδῶν οὐδαμοῦ· ἀλλ' εἰ μὲν δεῖ
βαδίσαι, πόδες οὐκ εἰσιν, εἰ δὲ δεῖ πρᾶξαι, χεῖρες οὐκ εἰσιν, εἰ δὲ δεῖ πονῆ-
σαι, χεῖρές εἰσι καὶ πόδες· οἰκειοῦμαι γὰρ ἐγκαίρως τὰ τοῦ Πολέμωνος. καὶ
30 ἐκ μέσης τῆς τεσσαρακονθημέρου νηστείας ἕως καὶ Φάσκα αὐτοῦ, τῆς τοῦ
μαΐου ἕκτης καὶ εἰκοστῆς, ὕπτιον ἡ κλίνη με βλέπει, τὴν δ' ἐπὶ θατέρῳ τῶν
πλευρῶν πτῶσίν τε καὶ μετάπτωσιν, τέως τὰ εἰς ἡμᾶς τὸ σῶμα τοῦτο ἠρ-
νήσατο. καὶ κλωβὸς ὁ κατὰ Ναύπακτον ἔχει με, τὸ πυραμικὸν νοεῖς οἰκη-
μάτιον, ἐνειργμένον τούτῳ καὶ ἐστενούμενον. καὶ ὕδωρ πίνω συλλογιμαῖόν τε
35 καὶ ἀπόρευτον. καὶ θαλάσσιος ὢν ἰχθυοβρωτεῖν οὐκ ἔχω, τῶν ὑπὸ τὴν ἐκκλη-
σίαν ἁλιευτῶν ἀνθρώποις ζωγρεῖν ὑπὸ τῆς ἐξουσίας κεκελευσμένων. ἐν τού-
τοις ἐμοὶ κατήντηκε τὰ ἐγκλήματα, ἐν τούτοις οἱ μακροὶ καὶ νύκτεροι λόγοι
ἐκεῖνοι, αἵ τε θέσεις καὶ ἄρσεις, αἱ καταφάσεις δηλονότι καὶ ἀποφάσεις, αἳ
παρ' ἑκατέρους κατάφασις ὠνομάσθησαν καὶ ἀπόφασις. τὴν δ' ἀμφοτέρων
40 μάχην ἀντίφασιν ὁ Σταγειρόθεν ἐκάλεσεν, ὅτι μηδ' ἑνὶ ἐν οὐδενὶ ταυτολογεῖν
ἀμφοτέροις, ἀλλ' ὅπερ τίθησιν αὕτη καὶ ἔστιν οὕτω κατάφασις, αἴρει πάντως
ἡ ἄλλη, ἣν ἀπόφασιν λέγομεν. ἀλλ' ἐκεῖνά τε ἐῤῥύη, λόγος γὰρ εἰς ἀέρα λύε-
ται, καὶ ἡμεῖς ἐπὶ τῶν πρώτων ἐσμέν. σὺ δὲ εὐέκτει καὶ πρόκοπτε, ἅμα δὲ
καὶ κίνει μοί ποτε σὸν κάλαμον· ἔσται γάρ μοι τοῦτο ἀντὶ παντὸς ἑτέρου
45 παρηγορήματος.

47

Πρὸς τὸν [Εὐθύμιον] Τορνίκην ἐπιστολὴ τοῦ αὐτοῦ Ναυπάκτου + Bl. 24

Τὴν ἀγαθότητα τοῦ θεοῦ ὁ θεολόγος μεγαλύνων πατήρ, ἔδει, φησί, χε-
θῆναι τὸ ἀγαθὸν καὶ ὁδεύειν ὡς πλείονα τὰ εὐεργετούμενα εἶναι, ἀμέλει,

46 [24] *αἴρομεν* — [30] *φάσκα* sehr unsicher, in der Hs. das Wort abgekürzt und rasiert — [32–33] *ἠρνῖσατο* — [35] *ἰχθυοβροτ(εῖν)* — [36] *ἀνθρώποις*. In der Hs. *ἀνοῖσ* oder *ἀνοῦσ* — [14] *κῖνη*

47 [1] Der Name in [ ] mein Nachtrag.

καὶ ἄνθρωποι ἐπλάσθησαν καὶ τὰ κατὰ γῆν παρήχθησαν ἅπαντα· καὶ τοῦτό ἐστιν ἡ χύσις τοῦ ἀγαθοῦ, ἡ τῶν δημιουργημάτων δηλονότι δαψίλεια. ἔδει 5 *καὶ τὴν σὴν ἁγιότητα, τὴν τῆς εὐθυμίας φερώνυμον, ἐν τῷ κοσμικῷ πικρασμῷ, ὅτι καὶ πάντες ἐπίσης, οἶμαι, παρεπικράναμεν τὸν θεόν, μὴ τῷδε περιγράφεσθαι τῷ τόπῳ, καὶ καταγλυκαίνειν τοὺς ἐν αὐτῷ ἐξ ἔργων καὶ ἐκ λόγων, ἐκ μόνης τῆς κλήσεως, ἀλλὰ μεταβαίνειν καὶ χέεσθαι, ὡς εὐθυμεῖν καὶ γλυκαίνεσθαι, οἷς ἂν ἐγγένῃ καὶ ὅπῃ στρέψεις τὸ πρόσωπον.* 10 *ἔνθεν τοι καὶ νῦν μὲν Εὐβοεῖς καὶ γλυκαίνεις παρών, νῦν δὲ Θηβαίους μέλιτος γλυκίονα ῥέων αὐδὴν καὶ κατευφραίνων τοὺς ἐντυγχάνοντας, ἐνίοτε δὲ προςφοιτῶν Ἀθηναίοις, ὡς ὁ παρ' αὐτοῖς Ὑμηττὸς καταγλυκαίνεις αὐτοὺς ἤ, δίδωμι γὰρ τῇ σῇ σειρήνῃ καὶ τὸ πλέον, περιχαίνειν σοι πάντας τούτους ποιεῖς, ἐπιλελησμένους ὥςπερ τοῦ ἐγχωρίου καὶ παρ' αὐτοῦ γλυ-* 15 *κασμοῦ. οὕτως ἐγὼ τὴν σὴν μετάβασιν κρίνω καὶ τὴν σὴν παρουσίαν ἐν* Bl 25 a *Θήβαις, ἐν Εὐβοίᾳ, ἐν ταῖς Ἀθήναις· καὶ καυχάσθω ἡ Εὔβοια,* || *ὅτι τὸ ἐξ αὐτῆς φυὲν εὔθυμον τὰς ὑμνουμένας καὶ μεγάλας πόλεις εὐφραίνει καὶ τοῖς παλαιοῖς διηγήμασι τὸ νέον τοῦτο προστίθησιν· ἔστι γὰρ ταῖς ἀληθείαις ἄξιον συγγραφῆς, εἴ τε ἀνὴρ εἷς, ὁ ἐμὸς καὶ μέγας Εὐθύμιος,* 20 *πολυανθρώπους πόλεις εὐφραίνει, πικραζομένας ἐξ ἰταλικοῦ ἀψινθιασμοῦ. ἡ Ναυπάκτου δέ, ὁ Ναυπάκτου ποιμήν, ὁ ἐν ταύτῃ λαός, ἔστιν εἰκάζειν, ὡς μεγάλα πάντως ἐξήμαρτεν, ὅτι πικραινομένη καὶ αὐτὴ πολυειδῶς, οὐ τὴν σὴν ὄψιν εἰς γλυκασμόν, οὐκ εἰς εὐθυμίαν δέχεται γράμμα τι, εἰμὴ μόνον ἓν μετὰ τοῦ παρόντος, ὡσεὶ καὶ μέλιτος σταλαγμὸν εἰς ὅλον πέλα-* 25 *γος πικρασμῶν. ἆρ' οὖν οὐ δεκάζεις τὰς ψήφους καὶ τοῖς συγγενέσι δίδως τῆς πλάστιγγος τὴν ῥοπήν, ἡμᾶς δὲ ἐν Καρὸς μοίρᾳ τίθης, τοὺς θαῤῥοῦντας εἶναι ὑπὲρ πολλοὺς παρά σοι; ἀλλὰ πρόχεέ σου τὴν γλυκύτητα καὶ ἡμῖν, ἀλλὰ τὸ ἐξ Εὐθυμίου ἡδὺ καὶ εἰς ἡμᾶς μετοχέτευε· καὶ γίνου μοι τρόπον ἄλλον ὠκεανὸς καὶ περίγραφε καὶ ἡμᾶς ἢ τῶν σῶν γλυκερῶν γραμ-* 30 *μάτων, ἢ τῆς σῆς παρουσίας ἐντός, καθότι κἀκεῖνος οὐδὲν ἐᾷ ἔξω τῆς οἰκείας περικυκλήσεως· εἰ δὲ βούλῃ, καὶ ἥλιος, ὃς ἀνατέλλει καὶ δύνει, ἔρχεται πρὸς βοῤῥᾶν, λάμπει πρὸς νότον, κυκλῶν κυκλοῖ καὶ εἰς τὸν τόπον αὐτοῦ ἔρχεται· ταῦτα δὴ τὰ τοῦ Σολομῶντος καὶ καινὸν οὐδὲν παρεγκεντρίζειν ταῦτα πρὸς τὸν Εὐθύμιον, ὃς λάμπει μὲν ἐξ ἀρετῆς, πάντας δὲ* 35 *ὁμοίως καταφωτίζει, ὅσους ἢ θλίψεων σκότους ἢ βιωτικῶν ζοφοῖ περιστάσεων. ὁ μιαρὸς Μαμούτζης, ὁ δραπέτης, ὁ μαστιγίας, ἔμαθον, ὡς ἐγένετό σοι παλίνστροφος· καὶ εἰ ἔτυψας τοῦτον κατὰ κόῤῥης ἐφ' ἅπαξ, δήλωσόν μοι· ἐς τοσοῦτον γὰρ ἡ τοῦ σοῦ μεγάλου θυμοῦ περιίσταται κόλασις, ὡς λέγειν καὶ σὲ πρὸς τὸν παίοντα κατὰ Πλάτωνα ἐκόλασα ἄν σε, εἰ μὴ* 40 *ἐθυμώθην· θυμωθεὶς δέ, τὸν θυμὸν κολάζεις καὶ φιλοσοφεῖς ἐν θυμῷ καὶ τοῦτον ἐπέχεις τῷ κρείττονι λογισμῷ, ὡσεὶ καὶ ἵππον ὁρμητίαν τῷ τοῦ χαλινοῦ ἀνασειρασμῷ.*

47 [5] *δαψόλεια,* was eine spätere Hand zum: *δαψήλεια* korrigiert hat. — [43] *ἀνασυρασμῶ*

48

Πρὸς τὸν Ἀπριτζέλην ἀντίγραμμα τοῦ αὐτοῦ + Bl. 25b

Καὶ τοῦτο, φίλη μοι κεφαλή, ἔργον ῥητόρων ἔστι δικανικῶν, τὸ περικόπτειν δηλονότι τοὺς χρόνους τῶν ὑποθέσεων τοῖς ἐν τῷ μέσῳ λαλήμασι· τοῦτο δὴ πεποίηκας καὶ αὐτός, τὴν ἔννοιαν τῶν πρός σέ μου γραμμάτων
5 *περικόψας ὥσπερ τοῦ μετὰ τοῦ παρόντος λαλήματος. ἀλλ' εἰσί τινες ἐκεῖ δυςπειθεῖς καὶ ὡς οὕτω φάναι παράνομοι, καὶ τοῦ καιροῦ καὶ τῶν ἐπιφωνημάτων ἐχόμενοι κατολιγωροῦσι τῶν μεταξὺ λαλημάτων. τοῦτο δὴ ποιῶ καὶ αὐτός· καὶ θεὶς παρὰ μέρος τὴν μετὰ τοῦ παρόντος τῆς τῶν ἐμῶν γραμμάτων ἐννοίας ἔγγραφόν σοι περικοπήν, τοῦ δρόμου ταύτης τῆς*
10 *ἀκολουθίας ἔχομαι τῆς προτέρας καὶ τὸ τέλος τῶν ἐπιστολιμαίων ἐκείνων, τετρὰς . . . . ἐκεῖσε καὶ τὸ ἀπὸ ταύτης, ὡς οἶσθα, τετράγωνον, ἀρχὴν ποιοῦμαι τῆς ἐνεστώσης ἐπιστολῆς. ἔχει δ' ὧδε· ἐπαινῶ τὴν φύσιν Ἀπριτζέλη ῥητορικωτάτου, ὅτι πέντε τοῖς αἰσθητηρίοις τὸν ἄνθρωπον διωργάνωσεν· ὁρᾶν γὰρ ἔδωκε τούτῳ διὰ τῶν ὀφθαλμῶν, καὶ ἀκούειν καὶ ἅπτεσθαι καὶ*
15 *γεύεσθαι καὶ ὀσφραίνεσθαι διὰ τῶν ἑτέρων τεσσάρων. καὶ χρῆσιν ἄλλην ἐνεργημάτων*

[Die Fortsetzung nicht vorhanden.]

49

Πρὸς τὸν Δισύπατον κῦρ Γεώργιον τὸν λογαριαστήν + Bl. 31a

Σὺ δὲ τί ἐλάλεις περὶ ἡμῶν; ἆρ' ἐπαθήνω τὴν ἐμὴν τελευτὴν ἀκούσας; ἢ κτύπον ἀκοῆς καὶ μόνον ἐλογίσω τὸ ἀγγελθέν; ἆρ' ἐμνήσθης, ὅτι σὺ μὲν ἔτι παιδίσκος ἦσθα, ἐγὼ δὲ ἀνὴρ καὶ τὴν σὴν σχολὴν παρερχόμενος ὥς τι χρέος
5 *ἀπῃτούμην τὴν σὴν ἐπίσκεψιν, καὶ τὴν σὴν κεφαλὴν κατέψων καὶ πῇ μὲν ἐπῄνουν, τὸν νοῦν τῶν ἀναγεγραμμένων καλῶς ἐρευνήσαντα, τῶν νοημάτων δὲ ἀστοχήσαντα τὰς σὰς παρειὰς ἐλαφραῖς τῶν ἐμῶν δακτύλων καταφοραῖς ἔτυπτον; ἢ ὅτι τοὺς ἐμοὺς συγκέκληκά σοι δακτύλους, ἐξότου τὴν Αἰτωλίαν πεπάτηκας, καὶ δώρῳ οὐδενὶ οὐδέπω τὴν σὴν ἐδεξιωσάμην φιλίαν, ἀναλγή-*
10 *τως ἔσχες περὶ τὸ ἄκουσμα καί, τὸ τῶν πολλῶν, οἰχέσθω, εἶπας, ὁ σφιγκτός, ὁ κίμβιξ, ὁ ἀφιλότιμος; εἰ μὲν οὖν τὰ πρῶτα, Δισύπατος εἶ καὶ Δισυπάτων ἀπόγονος, τούτων δὲ τὸ συμπαθές, τὸ φιλόδακρυ, τὸ τὰ τῶν φίλων ἡγεῖσθαι κοινὰ εὖ τε καὶ ἑτέρως ἔχοντα· εἰ δέ γε τὰ δεύτερα, φαίνῃ πάντως ἐκείνων μὲν ἐκπεσών, τὴν ψυχικὴν δὲ διάθεσιν ἀλλαξάμενος, καὶ φίλου πολυ-*
15 *χρονίου, ἤδη δὲ καὶ πατρός, ὡς τὸ ἀξίωμα βούλεται, κέρμα βραχὺ προτιμώμενος, καὶ τοῦτο δὴ τὸ τοῦ ποιητοῦ, χρυσείων ἀνταλλαττόμενος χάλκεα ‖ καὶ* Bl. 31b *ἑκατομβίων τὰ ἐννεάβοια· χρυσέα δὲ πάντως ἡ καθαρὰ φιλία καὶ ἄδολος, ἣν φυλάσσω πρὸς σέ, καὶ οὐ μικρὰ περιουσία καὶ εὔμετρος, ὅλος δὲ*

48 [5] *τὸ μετὰ* — [7] *κατωλϊγοροῦσϊ* — [8] *τοῖσ τῶν* — [11] Die Punkte weisen auf gleichzählige getilgte Buchstaben hin — [13] *δϊοργάνωσεν* — [14] *τ(ὸν) ὀφθαλμὸν*

πλουτισμὸς καὶ τῆς ἑκατοντάδος ἰσόποσος. ἀλλ', ὦ Γεώργιε, μικροῦ τέθνηκα· καὶ τὸ μεταξὺ ζωῆς καὶ θανάτου ἰσχνὸν μεσότοιχον ὑπελείφθη μοι, 20
πνοὴ λεπτή τε καὶ ἀμυδρά, καὶ ὅσον δείκνυσθαι καὶ μὴ πάμπαν ἐκφυσηθῆναι τὸ πνεῦμά μου· ζῶ γοῦν ἀπὸ ἡλίου, ἀπολαύων ἀέρος, σὰρξ δέ μοι κατὰ μικρὸν σφίγγεται ἢ συνάγεται, διαλυθεῖσα ὥςπερ τῇ νόσῳ καὶ πλαδαρωθεῖσα τῷ ἀρρωστήματι· καὶ μεγαλύνεταί μοι θεὸς ὁ θανατῶν καὶ ζωογονῶν, ὁ κατάγων εἰς Ἅδου καὶ πάλιν ἀνάγων, καὶ ὡς τὸ πᾶν εἰπεῖν τῆς 25
ᾠδῆς, ὁ ἀποκτένων καὶ ζῆν ποιῶν, ἐκεῖνο διὰ τὸν σωφρονισμὸν καὶ τοῦτο διὰ τὴν δύναμιν. ἡ δὲ τοῦ Μεσοποταμίτου καρδία, οἶμαι, ὡς ἐπάλλετο καὶ ἐσφάδαζε καί, τὸ τοῦ Δαυίδ, ἔσκαλλεν ἔνδον τὸ πνεῦμα αὐτοῦ, ὡς ἐπισκοπήσῃ Ναυπάκτου· καὶ ἀγαπητόν, εἰ τοιοῦτον, ἀνὴρ λόγιος καὶ λογογράφος ἐπίσημος, ἵνα κἀγὼ κείμενος αἴσθησιν εἶχον, εἰ δύναμις, ὡς μετ' ἐμὲ 30
ἀνὴρ ἀξιόλογος τὸν θρόνον μου ἐπεκάθισεν. εἰμὶ δὲ ἔτι τὸ πλέον τοῦ κλινιδίου· τὸ γὰρ εὐκταῖον κακόν, τὸ γῆρας εἶναι τούτου ἐγνωματεύσαντο, οὐκ ἐᾷ, κατὰ σάρκα νεάζουσαν, ἀνακομισθῆναι ταχύτερον· καὶ σύνευξαί μοι ἀπαλλαγὴν τελείαν καὶ συνουσίαν τὴν μεθ' ὑμῶν, τὴν δὲ εἰς ἡμᾶς ἐπιμέλειαν τοῦ πανευγενεστάτου Δούκα κῦρ Κωνσταντίνου, τὸ δάκρυον, τὴν διάθεσιν, ὡς 35
κἀγὼ ἀναζήσω, ὀκνῶ μὲν γράφειν κατὰ λεπτόν, στόμα δὲ τὸ ἐμὸν τῶν εἰς ἡμᾶς αὐτοῦ σπουδασμάτων ἐσσεῖταί σοι ἐξαγγελτικόν. εἴης μοι πολυχρόνιος, φίλου μεμνημένος ἐμοῦ, τὰ τῆς ἀγάπης θεσμά, ἵνα τι καὶ περιαυτίσω, φυλάσσοντος ἀπαράτρωτον.

50

Bl. 32 a *Πρὸς τὸν Γοριανίτην +*

Πανυπερεντιμότατε καὶ ῥητορικώτατε, τῇ ἐξουσίᾳ πανοικειότατε καὶ ἡμῖν ἀπὸ καρδίας φιλούμενε, ἔχω σε καὶ μὴ παρόντα καὶ συγγίνομαί σοι ἐκ γῆς μακράν, τὸν γὰρ σὸν ἀδελφόν, τὸ ἀκριβὲς ἐκμαγεῖον τῆς σῆς ἡμερότητος,
Bl. 32 b *τῆς ἡσυχίας, || τῆς λογιότητος ἐγγύτατα ἔχω, καὶ καθ' ἡμέραν σύνειμι τῷ* 5
καλῷ. καὶ χάρις τῷ καλῷ μου Γοριανίτῃ, ὅτι δεξιοῦται τοὺς φίλους πόρρωθεν μὲν γράμμασι, ἐγγυτέρῳ δὲ ἑαυτῷ· οὐδὲ γὰρ διαιρῶ τοὺς ἀδελφοὺς τῷ τοπικῷ διαστήματι. καὶ ἠγνόουν ὁ ἀρχαῖος ἐγώ, ὡς οὐ παρόψει μου τὸ γῆρας ἀπαρηγόρητον. οὕτω κατ' ἄκρας τῶν ἡμετέρων ὁμοτρόπων καὶ τῆς καλοκἀγαθίας ἑάλων, ὡς καὶ δοκεῖν τὴν ὄψιν μὴ σφάλλεσθαι καὶ βλέπειν ἐν ἑτέρῳ 10
τὸν ἕτερον. σὺ δέ μοι δίδου τὴν προτέραν φιλίαν, τὰς ἐλλογίμους γραφάς, καὶ χαρίζου καὶ τῇ Θεομήτορι καὶ ἐμοὶ τὴν τῶν ὑπὸ ταύτην συντήρησιν καὶ τὴν δυνατὴν ἐμοὶ περιποίησιν. εἴπω τι καὶ δημοτικόν; δείκνυ ἔργα καὶ οὐκ ἂν ποτε τὸν σὸν Ναυπάκτου εὑρήσεις τὰ εἰς σὲ μὴ εὐχάριστον, ὡς δὲ τὸ εἰς ἐμὲ ἀφρονεύσωμαι, ἤλπιζον, ὡς λόγιος ὢν οὐ παρόψει με πώποτε· ἵπποι γὰρ χαί- 15
ρουσιν ἵπποις καὶ ἀετοὶ ἀετοῖς, κολοιοὶ δὲ ποτὶ κολοιοῖς ἰζάνειν, καὶ τῆς

49 [22] *ἀπολάβ(ων)*
50 [16] *κολοὶ' δὲ ποτὲ κολοὶ'*

παροιμίας ἀκούσεις· τὸν δὲ παρόντα ἄνθρωπόν μου δέξαι καὶ τὴν ἡμετέραν ὀλίγην δεξίωσιν διὰ σοῦ τῷ κυρίῳ ἡμῶν ἐμφανισάτω καὶ εἴης μοι πολυχρόνιος, τιμῶν μὲν ἡμᾶς ἐν τῇ πληρώσει τῶν ἡμετέρων αἰτήσεων, ὑπερτιμῶν
20 *δὲ ταῖς εἰς τὸν ἡμέτερον ἐξάδελφον καὶ ὅλον σὸν ἀντιλήψεσιν.* +

51

Πρὸς τὸν χαρτοφύλακα Νικαίας τὸν Μετρητόπουλον + Bl. 32b

Ὁ παρὼν ἀσπασμός, ἁγιώτατε δέσποτα καὶ πανυπερεντιμότατε χαρτοφύλαξ, χρόνιος μὲν πρός σε ἀφ' ἡμῶν, ἀλλ' ἐκ φιλικῆς καρδίας καὶ ὁλικῆς διαθέσεως. οἶσθα γάρ που πάντως οἵαν εἶχον πρός σε στοργήν, ὅτε ὁ τῆς Κων-
5 *σταντινουπόλεως ηὔγει λύχνος καὶ τὸ μεγαλοπρεπὲς πατριαρχεῖον εἶχεν ἡμᾶς· ἐπεὶ δ' ἐκεῖνος ἐσβέσθη καὶ ἡμεῖς ὡς ἐν σκότῳ ἄλλος ἄλλῃ πλαζόμεθα, οὐδ' οὕτως ἐπιλανθάνομαί σου τῆς ἁγιότητος· ἴστω Κύριος, ᾧ τὰ ἐγκάρδια δῆλα καὶ νεφροὶ ἐξετάζονται. καὶ ἤθελον κατὰ συνέχειαν γράφειν σοι, μεμνημένος τῆς σῆς δεξιότητος καὶ τῆς ὀξύτητος τοῦ νοὸς καὶ γλώσσης ἐκείνης, ἥτις*
10 *δικανικὴν ῥητορείαν τορὸν ἔῤῥεεν, ἀλλ' ἡ περίστασις τοῦ καιροῦ καὶ τὸ ἀλλήλων ἐκτόπισμα καὶ τὸ μέσον ἀμφοτέρων χάσμα, τὸ μικροῦ ἀδιάβατον, καὶ γλῶσσαν ἐμὴν ἐπέσχε καὶ χεῖρα· ταῦτα δὴ καὶ τὴν σὴν πάντως· καὶ παρὰ τοῦτο ἀπροσήγοροι τὰ ἐς ἀλλήλους, ἐγώ τε ὁ βοτρ . . . καὶ ὁ λάμορος σύ· καὶ οὐκ οἶδα τίνα πρώτως καταιτιάσομαι, ἢ ἐμέ, οὗ αἱ ἀνομίαι ὑπὲρ*
15 *τὸν χοῦν, ἢ τοὺς πολλοὺς τῶν αὐτῶν μὴ γεγονότας ἴσως . . . . δι' ἃ θεὸς ἀπαξάπαντας τῆς καλῆς Ἐδὲμ καὶ μαιευτρίας ἡμῶν καὶ ἀπῴκησε καὶ ἐξώρισεν· ἀλλὰ συνάξοι πάλιν τοὺς περιλειφθέντας ἡμᾶς ὁ σκορπίσας θεὸς καὶ θεασοίμεθα τὴν πατρίδα, ἧς δικαίᾳ κρίσει θεοῦ ἐπὶ τοσοῦτον ἀποξενούμεθα· πῶς δ' ἂν εἴπῃς ἠγαλλιάσθην τὴν σὴν μαθὼν προκοπὴν καὶ τὴν εἰς τὸ*
20 *χαρτοφυλακικὸν ὀφφίκιον πρόοδον; ἄξιον τοῦτο δῶρον καὶ τοῦ δεδωκότος καὶ τοῦ λαβόντος· καὶ ἔδοξέ μοι καὶ ἡ κρίσις αὕτη καὶ ἡ ἐπίκρισις ἔλλογος, εἴ γε ἀνήρ, οὕτω μὲν παιδεύσεως ἔχων, οὕτω δὲ γλώσσης, εἰς τὸ τοῖς προτερήμασι τούτοις πρέπον ἀνεβιβάσθη ἀξίωμα, οὕτω μοι τὰ τῶν φίλων οὐκ ἐπιλήψιμα παρυψώματα οἰκεῖα λογίζεται, ὡς καὶ αὐτοῖς ἀναλόγως αἱ τὸ δοκεῖν*
25 *ἐμαὶ ὑποβάσεις καὶ παροράσεις οὐκ ἔγκαιροι. ἤκουσας, ἤκουσας, ὃ γράφειν ἔχω; ἢ τοῦτ' ἔμαθες καὶ μαθὼν σχετλιάσας, σιγᾷς μὲν ὥςπερ εἰκός, ἔνδοθι δὲ θυμὸν ἀμύσσεις, τῇ παλαιᾷ φιλίᾳ προβιαζόμενος; ναὶ τοῦτο· καὶ πιστοῦταί μοι τὴν ὑπόληψιν ἡ κατὰ Πόλιν ποτὲ καὶ σύμπνοια καὶ ὁμόνοια, ἃς ἀλλήλοις ὀμόσαντες ἀμετακινήτους ἐστήσαμεν. τοῦτο δὲ τὸ εἰς ἡμᾶς και-*
30 *νοτόμημα· ἡ ἐξαρχία τῶν πατριαρχικῶν μονῶν ἀνετέθη μοι παρὰ τοῦ ἐν τῇ βασιλευούσῃ ἁγιωτάτου πατριάρχου ἐκείνου κῦρ Ἰωάννου τοῦ Καματηροῦ, καὶ ἔχω ταύτην ἕως καὶ νῦν, οὐ παρακερδαίνων ἐκ τῶν μονῶν, παραφρονῶν*

51 [10] *τορρ(ὸν)* ursprünglich — [25] *ἐμὲ* — [26] Nach *σχετλιάσας* ein leerer Raum von 5–6 Buchstaben

λέγω, ἀλλὰ τῷ τῆς προεδρείας ἀξιωματικῷ τὰ κατ' αὐτὰς διοικονομούμενος καὶ τὴν ἐπισκοπικὴν ῥάβδον τοῖς σφαλλομένοις τοῦ δέοντος, ὅπῃ παρείκοι, ἐπανατείνων παιδευτικῶς. ταύτην τὴν χάριν ἢ δωρεὰν ἡ δεσποτικὴ ἐξουσία 35 *πρὸς τὸν Σαμψὼν μετεβίβασε· Σαμψὼν ἐκεῖνον, ὃν ἄνδρα μὲν ὀλίγον ἡ φύσις ἐπλάσατο, στατίων δὲ ἡ ἐν τοῖς τῆς Διακονίσσης εἶχε παρακαθήμενον, ἐν ᾗ ἐσυμβολαιογράφει καὶ τῷ τοῦ τόπου ὑπεδρήστευε ταβελλίωνι· καίτοι ἐχρῆν, ἵνα τι καὶ περιαυτίσω μικρόν, ἐμοὶ πιστεύειν πλέον ἢ τῷ Σαμψὼν καὶ τὴν πνευματικὴν ἐργασίαν ἐᾶσαι παρὰ τῷ τοῦ πνεύματος ὑπηρέτῃ, καὶ μὴ διακόνῳ καὶ* 40 Bl. 33 a *νοταρίῳ δοῦναι ἆραι ὀφρῦν ἐν τῇ || ἐμῇ ἐπαρχίᾳ καὶ ὅριον παρελθεῖν πατριάρχου ἐκείνου, λόγῳ διαβοήτου καὶ ἀρετῇ. οὗτος δὴ ὁ Σαμψὼν μηδὲ ψιλῆς ἀξιωθεὶς προσρήσεως παρὰ τῶν κρατούντων ἐνταῦθα, ἐξ Ἀνατολῶν εἰς Δυσμὰς ἐμεγαλύνθη καὶ γνώριμος παρὰ τοῦτο τοῖς ἐνταῦθα ἐγένετο· καὶ οὐκ ἐφησυχάζει τῷ γενομένῳ, ἀλλὰ κυκᾷ τὴν κατάστασιν καὶ δοκεῖ τις εἶναι ὁ μηδὲν τὸ πρὸ τοῦ.* 45 *ἀλλ' ἡμεῖς καὶ τῷ δεσπότῃ εὐχαριστοῦμεν καὶ σοὶ τὸ πρᾶγμα ὡς φίλῳ γνωρίζομεν καί σοι αἰτούμεθα πρὸς θεοῦ καὶ βίον μακρὸν καὶ σωτηρίαν ψυχῆς.* +

52

[Ohne Adressatangabe.]

Bl. 33 a *Πανεντιμότατε δέσποτα καὶ κατὰ θεὸν ἀδελφέ, δεκαὲξ χρόνους ἤδη ἀνύων εἰς Ναύπακτον μίαν σου καὶ μόνην γραφὴν ἐδεξάμην· καὶ ἐλογισάμην τὴν ἡμέραν τῆς τοῦ γράμματος ἐγχειρίσεως ἑορτῶν ἑορτὴν καὶ πανήγυριν πανηγύρεων· ἦν γὰρ τῆς φίλης ἐμοὶ χειρὸς καὶ πάλαι καὶ νῦν. οὕτως ἐξόχως ἠγάπησά σε, ὡς καὶ γράμματά σου δεχόμενος, σὲ δοκεῖν δέχεσθαι· σὺ δ' ἐπὶ* 5 *τοσοῦτον ἐμοὶ ἐσιώπησας, ὡς μηδὲ τῆς σιγῆς τὸν χρόνον εὐλαβηθῆναι, μηδὲ περιλαλῆσαι τὸν φίλον, εἰμὴ ἐφάπαξ, ἡ καλὴ ἐμοὶ ἀηδών, πολλάκις καὶ ταῦτα θανασίμοις περιπεσόντα νοσήμασι, τοσαυτάκις δὲ θεραπευθέντα παρὰ θεοῦ. εἰ δέ γε ἀνθυποφέρεις, ὡς ἀντεγκαλεῖσθαί εἰμι ἄξιος τὰ ἐπαγόμενά σοι ἐγκλήματα τῆς σιγῆς, ἀλλ' ὄμνυμί σοι τὴν ἐποπτικὴν πάντων πρόνοιαν, ὡς* 10 *εἰ μὴ τῷ παρόντι οὐδ' ὁπωσοῦν ἑτέρῳ ἐνέτυχον εἰς Νίκαιαν ἀναβαίνοντι, καὶ τούτῳ ἐνοδίῳ καὶ μηδ' ἀνεχομένῳ προσμεῖναι, ὡς γνωρισθῆναί σοι ὅσα μοι πρὸς θυμοῦ, πλὴν ὅτι περιεκύκλωσάν με πραγμάτων ἐπιπλοκαὶ καὶ περιστάσεων δικτύοις ἐνέχομαι, ὁ παρακλητήριος δὲ οὐδαμοῦ· καὶ τὸ μέσον ἐμοῦ καὶ ὑμῶν ὑγρὸν χάσμα οὔτε τὰ συχνὰ γράμματα οὔτε τὴν ἕνωσιν συγχωρεῖ, ὡς* 15 *ἐκ τούτων ἢ ταύτης τὴν εὐθυμίαν παρακερδαίνειν με. καὶ γένοιτό ποτε, θεὲ βασιλεῦ, ἕνωσιν τῶν διεστώτων γενέσθαι, ἵνα φίλοι φίλοις συνευφρανθῶμεν ἐκ τῆς ἀλλήλων ἀντόψεως· θεὸς δὲ ταῦτα τελέσοι, ᾧ πανθ' ὑπείκει, καὶ χρόνος καὶ πραγμάτων περίστασις. ἠνιάθημεν δὲ καὶ ἄλλως, ὅτι ὁ παναγιώτατος δεσπότης ἡμῶν ἀπὸ καρδίας, ὡς ἔοικεν, ἡμῶν ἐπελάθετο καὶ οὔτε γράμ-* 20 *ματι παρεδήλωσέ μοι τὴν αὐτοῦ ἱεραρχικὴν κατάστασιν, ἀλλὰ καὶ προσαφεί-*

51 [34] *ῥαῦδον* — [37] *στατίον* — *ειπαρακαθήμενον* — [42–43] *ἀξιωθῆς* — [46] *τῶ πράγμα*

λετο ἥν μοι ἐξαρχίαν τῶν ἐνταῦθα πατριαρχικῶν μονῶν ὁ κατὰ Πόλιν ἐκεῖνος ἁγιώτατος πατριάρχης ὁ Καματηρὸς ἐχαρίσατο. καίτοι ἐχρῆν μήτε τὴν ἐκκλησιαστικὴν συνήθειαν παριδεῖν, ἀλλὰ γνωρίσαι κἀμοὶ καὶ τοῖς ἐνταῦθα συνεπι-
25 *σκόποις τὴν ἰδίαν προχείρησιν, καὶ μὴ παραλυπῆσαι ἀκαίρως φίλον πολυετῆ καὶ συνήθη τούτῳ τὰ μάλιστα. ἀφελόμενος δὲ τίνι δέδωκε; τῷ Σαμψὼν ἐκείνῳ, ὅς ποτε νεώτερος ἦν τοῦ ταβελλίωνος τοῦ ἐν τοῖς τῆς Διακονίσσης στατίωνος. καὶ σὺ ἂν εἴπῃς, εἴ γε ἐπαινετὴ τῶν προσώπων ἡ σύγκρισις καὶ ἡ ἀφ' ἡμῶν πρὸς τὸν Σαμψὼν τῆς ἐξαρχίας μετάθεσις, εἰ μή τε ὡς διδακτικωτέρῳ τῷ ἡμι-*
30 *ανθρώπῳ τούτῳ καὶ πλείονα ἡμῶν γνῶσιν ἔχοντι τὸ πρᾶγμα ἐνεχειρίσθη· ὡς μηδενὸς ἀξιωθεὶς λόγου παρὰ τοῖς ἐνταῦθα κρατοῦσιν ἐκ Νικαίας ἐμεγαλύνθη καὶ τῆς δεσποτικῆς ἐπικρίσεως· πολλὰ δὲ καὶ ἄλλα ἐπίλυπα ὑπομεμενηκὼς ἀφ' οὗ ἐπεσκόπησα, καρτερήσω καὶ τοῦτο· χρεὼν γὰρ τὰ τοῦ καιροῦ φέρειν, κἂν ὅπως ἄρα φέρωνται καὶ μετάγωνται. σὺ δέ μοι γίνου φίλος, οἷος ὁ ποτὲ ἀλλή-*
35 *λοις συνῆμεν· πάντα γάρ μοι τὰ κατὰ τὸν βίον ὁπωσοῦν ἔχοντα δεύτερα τῶν φίλων καὶ τῶν συνήθων καὶ ἀδελφῶν. εἴης μοι πολυχρόνιος μεμνημένος τοῦ ὁμωνύμου, τοῦ πνέοντός σε ὡς τὸν ἀέρα. +*

53

Πρὸς τὸν λογαριαστὴν τὸν Δισύπατον κῦρ Γεώργιον + Bl. 33

Τὰ πολλὰ τῶν ἐμῶν σοι παρατίθημι· χαίρω γὰρ καὶ συνών σοι καὶ γράφων σοι. ἤκουσταί μοι, ὡς ἐκ Νικαίας καὶ ἔωθεν ἐνταλτήριος χάρτης τῷ Σαμψὼν κατεπέμφθη· ὁ δὲ ἐπὶ τῷ γράμματι τὴν κεφαλὴν ἄρας ὑψοῦ καί, ὡς ἡ
5 *κωμῳδία παίζει ἐπὶ Σωκράτει, ἀεροβατήσας καὶ περιφρονήσας τὸν ἥλιον καὶ ὡσανεὶ πῆχυν ἐπὶ τὴν ἡλικίαν προσθείς, ὅπερ ὡς ἀδύνατον ἀπαγορεύει τὰ εὐαγγέλια, οἶμαι, καὶ περιειργάσατο ἑαυτὸν καὶ ἀμφιπεριέβλεψεν ἔνθα καὶ ἔνθα, εἰ ἐπλατύνθη, εἰ προσανέβη· τοιαῦτα γὰρ τὰ τῆς κατὰ τὸν βίον ὁποιασοῦν τιμῆς ἀστοχήσαντα ἀν || θρωπάρια, ἐπὰν ὁπωσοῦν ἐπέλθῃ τούτοις* Bl. 33
10 *ψευδοτιμή, οὐδὲ ὅ εἰσι προσλογίζονται, ἀλλ' εἰ μὴ καὶ χυδαῖος καὶ σύγκλυς ἀκούσεται τὸ τάχα παρύψωμα, δυσχεραίνουσι. διὰ τοῦτο ἐπ' ἀγορᾶς ἐν τῇ Ἄρτῃ καὶ ἐν κυριωνύμῳ ἡμέρᾳ ἀναβὰς κριτὴς ἐπ' ὀκρίβαντος τῷ πατριαρχικῷ νοταρίῳ τούτῳ ἀνθυπηρέτησε καὶ ἀνέγνω τὸ γράμμα διατόρῳ φωνῇ, ὡς μηδὲ γυναικείαν ἀκοὴν διαμεῖναι ἀνήκοον τῆς γραφῆς· ἵνα τί; ὡς ἀκούσηται*
15 *Ἄρτα καὶ τὰ εἰς αὐτὴν συῤῥέοντα πλήθη, ὡς ὁ Σαμψὼν κἂν τὴν ἡλικίαν μικρός, ἀλλ' ἐν τῇ Ἀνατολῇ καὶ μέγας ἐστὶ καὶ πεφρόντισται καὶ τετίμηται καὶ πατριαρχικὴν τοποτηρησίαν τοῦ Ναυπάκτου ἀντέλαβεν (ὁ δὲ οὐδενόσωρος παρ' ἐκείνοις καὶ παρὰ τούτῳ παρέσταλται), καὶ ἵνα διερχομένου αὐτοῦ ὑπολαλῶσι τὰ πλήθη «παρέρχεται ὁ ἔξαρχος». καί που μαντεύομαι, ὡς καὶ*
20 *κλῆσιν καὶ προσωνυμίαν ἀπάρτι ἠλλάξατο καὶ Σαμψὼν οὐκέτι κληθήσεται, οὐδέ γε τὸ ἐπίκλημα Βασιλάκιος, ἀλλὰ κυριωνυμίαν τὴν ἐξαρχίαν κληρώσεται καὶ ὑπαντήσει ἄνθρωπος καὶ ὑπαντηθήσεται καὶ ἐρωτήσει καὶ ἀντε-*

53 [18] *τοῦτο(?)*

ρωτηθήσεται «πόθεν ἔρχῃ;» «ἀπὸ τοῦ Ἐξάρχου»· «καὶ σὺ ποῦ πορεύῃ;» «πρὸς τὸν Ἔξαρχον». ταῦτα δὴ τὰ κυλλὰ τῆς νῦν ἡμέρας ὑψώματα. τοῦτο δέ σοι γνωστόν, ὡς χθὲς καὶ πρὸ τρίτης νοσήσαντός μου εἰς θάνατον καὶ πλατυν- 25 *θείσης τῆς φήμης, ὅτι τεθνήκαμεν, ἀπῆλθέ τις δρομαῖος πρὸς τὸν σημερινὸν ἔξαρχον, ὀλιγηπελέων ὑπὸ τοῦ δρόμου, λεγόντων οἱ Ὁμηρίδαι, καὶ παρακεκομμένος τὸ ἆσθμα, καὶ οὐ πρότερον ἀπήγγειλε τῷ ἐξάρχῳ τὸ ἄκουσμα, πρὶν ἢ ἐκεῖνος ἀγαθὸν ἀντάκουσμα ὑπέσχετο τῷ ἀγγέλῳ· τὸ δὲ ἦν ἐπισκοπῆς δωρεά· ἡδυνθεὶς γὰρ τῇ ἀκοῇ καὶ μεγαλοψυχήσας οἷον, καὶ χεῖρας ὑψοῦ ἀνασχών, ἔχεις* 30 *μή σε θάψω, ἔφη, ἐπισκοπήν. καὶ γέγονε τότε ἀκοῆς θανάτου ἀντίδοσις, ἡ χάρις τοῦ πνεύματος. Ἡράκλεις, ὁ μήπω τοῦ θρόνου κύριος ἐχαρίζετο τὰ τοῦ θρόνου. ὁ δέ, ὁ ἀκούσας, ἐδαφίσας τὸ πρόσωπον, ὡς ἤδη καὶ σφραγιζόμενος, βαθεῖαν ἀντέδωκε τῷ χειροτονητῇ τὴν προσκύνησιν. τίνα τούτων εἰπέ μοι τὰ τελειότερα, ὅτι τὰ ἐν βουλῇ καὶ μόνῃ θεοῦ αὐτὸς ὡς ἔχων ἤδη ἐδίδου. ὅμως δὲ* 35 *ἀστοχήσας καὶ τῆς προεδρίας καὶ τῶν ἀπ' αὐτῆς δωρεῶν ἑτέραν ταύτην ἐτράπετο. καὶ φανήτω καὶ γνωρισθήτω καὶ γνώτωσαν ἄνθρωποι, ὡς ἔστιν ἐν Αἰτωλίᾳ Σαμψών, ἀνὴρ ἱερὸς καὶ διάκονος τῆς κατὰ Κωνσταντινούπολιν ἐκκλησίας, ὅτε καὶ ἦν, καὶ καταπληξάτω τοὺς πολλοὺς τῷ ὀνόματι· τῇ γὰρ ἡλικίᾳ καὶ τῇ δυνάμει τοῦ παλαιτάτου Σαμψὼν μακρὰν ἀποπέπτωκεν. ἀλλ' ὁ ναυτίλος ἰχθῦς* 40 *εἰς μυχαίτατα καταδύεται τῆς θαλάσσης, ὅταν χειμῶνος αἰσθάνηται· καὶ Πυθαγόρας ἐρωτηθεὶς πόσος ἂν εἴη ὁ τῶν ἀνθρώπων βίος, μικρόν τι φανείς, ἀπεκρύψατο, μέτρον τοῦ βίου τὴν θέαν ποιούμενος· καὶ ξύνες ὅ,τι λέγω, φησὶν ὁ Πίνδαρος. εἶεν· τὸν δὲ εἰς ἡμᾶς ἐμπαιγμὸν ποῦ θήσομεν; ὅτι τῇ Μαλαίνῃ μὲν οὐ παρέβαλες ἐποπτεύσων καὶ τὰ ἐκείνῃ δουλικὰ δίκαια, τῷ δοκεῖν ἡμῖν χαριζό-* 45 *μενος· τῷ δὲ πρακτικῷ πῶς προσέθου χρυσίνους ἑπτὰ καὶ κατεβάρυνας ἀνθρώπους, ὧν τὴν ὕπαρξιν οὐ κατεῖδες; ἐμηνύθη μοι γὰρ παρὰ τῆς κυρίας Δουκαίνης, ὡς εἰ μὲν καταδέχῃ τὴν παρὰ τοῦ λογαριαστοῦ μου αὔξησιν, ἔσο νομεύς, εἰ δ' οὔ, κατασταθήσεται τῷ ἀνθρώπῳ μου. καὶ τίς ἦν ὁ μακρὸς περὶ τούτων λόγος ἐν τῷ Ἀγγελοκάστρῳ καὶ ἡ ψευδόχαρις ὁμιλία! οὕτω με φιλεῖς; οὕτω με* 50 *παραλογίζει τὸν ἱερέα, τὸν γέροντα; ἀβάλε, ὁ κατὰ πνεῦμα υἱὸς τὸν τοιοῦτον πατέρα; ἀλλ' εἴης μοι πολυχρόνιος, αἱ δὲ τοιαῦται πλοκαὶ ἢ διαλυθήσονται ἢ ῥαγήσονται, πλὴν ὅτι καθ' ἑαυτὸν ὑπεκρουσάμην τὸ τῆς γραφῆς καὶ εἶπον, οὐ μὴ πιστεύσω ἀπάρτι φιλίᾳ· πᾶς γὰρ ἄνθρωπος δολίως πορεύεται καὶ πᾶς ἄνθρωπος πτέρνῃ πτερνιεῖ τὸν πλησίον αὐτοῦ· ὅτι πρᾶγμα πρὶν γενέσθαι μὴ πι-* 55 *στευόμενον, παρὰ φίλου, παρὰ συνήθους, παρὰ γνησίου υἱοῦ ὁ πατὴρ καὶ φίλος ἑπτὰ χρυσοῖς πέπραται.*

54

Bl. 34 a *Πρὸς τὸν Τορνίκην κῦρ Εὐθύμιον* +

Bl. 34 b *Εἴ που παρὰ τῷ γήρᾳ εἰσὶν ἐξώστωα καὶ ἐσώστωα καὶ τελευταῖος οὐδός, ἴσθι, ὡς τοὺς μὲν δύο σταθμοὺς ἡμεῖς παρημείψαμεν καὶ πατοῦμεν τὸν*

53 [26] σημερ^{ιν}

ἔσχατον· καὶ τὸ τούτου ἀκροτελεύτιον ὅτι θάνατος, οἶδας πάντως αὐτός, ὁ
5 σύγγηρος ἐμοὶ καὶ ὁμόχρονος· εἰ δὲ μικρὸν καὶ ὑπέρχρονος, σὺ ἂν εἴπῃς ὁ
ἐν μηδενὶ χαριτογλωττῶν, πλὴν ὅτι κἂν ὅπως εἴχομεν ἐν τοῖς χρόνοις, ἀλλά
γε κατὰ τὴν τῶν μαθημάτων βαλβῖδα ἦμεν πάντως ἰσόχρονοι καὶ ὁμόστα-
τοι, ἀφ' ἧς ὡς ἀπὸ εὐφυοῦς ἀφετηρίας ἀρξάμενοι εὐδρόμως, ὡς οἶσθα, τὴν
τῆς πρωτοπαιδείας νύσσαν ἐκάμψαμεν· καὶ νῦν κἂν ἡμεῖς εἰς τὴν μείζονα
10 μοῖραν ἐτάχθημεν, σὺ δ' ἔτι διακονεῖς, Χριστὸν ἐν τούτῳ μιμούμενος, τὸν
οὐχ ὡς διακονηθῆναι, ἀλλ' ὡς διακονῆσαι ἐλθόντα, τί κωλύει ἄμφω τῶν
αὐτῶν γενέσθαι καὶ πᾶσι, στέγης, τραπέζης, ἁλῶν; εἰ μὲν οὖν πᾶσαν ἀπηρ-
νήσω συγγένειαν καὶ κόσμον ἅμα καὶ κοσμοκράτορα καὶ φίλους καὶ ἑται-
ρίαν, καὶ τὸν σταυρὸν ἦρας, ὡς γένῃ ἄξιος τοῦ καλοῦντος, εὖ σοι τῶν φρο-
15 νιματισμῶν· εἰ δέ, καθὸ ἀληθὴς ἄνθρωπος, τὴν μὲν ψυχὴν ἀνέτεινας πρὸς
θεόν, ἕλκει δέ τι μέρος πρὸς τὰ χαμαὶ ὁ σύντροφός σοι πηλός, οὐκ ἄν ποτε
τοῦ σοῦ Ἰωάννου κρείττω εὑρήσεις ἄλλον θεραπευτὴν ἢ ἀντεχόμενον πλέον
ἢ τῶν σῶν θελημάτων κατήκοον ἢ τῶν νευμάτων σου μὴ ἐκνεύοντα. γενοῦ
μοι τοίνυν ἐπακουὸς καὶ θάψον με πρώτως ἢ σύνθαψον, ἢ αὐτὸς ἐπιχύσω σοι
20 κόνιν, ἂν ἄρα καὶ τοῦτό μοι κλωσθῇ τὸ δυστύχημα· τέως, ἕως ζῶ καὶ σπῶ
ἀέρα καὶ βλέπω ἥλιον, ἀνεύθυμον μὴ παρίδῃς με· πάντα γάρ μοι δεύτερα
σοῦ καὶ τῆς σῆς συνουσίας. ἱμάτιον τὸ τῆς προφητείας ἔχω καὶ ἄρτον, καὶ
ὡς ἀντιστρόφως εἰπεῖν, γενοῦ μοι σὺ ἀρχηγός· χαίρω γὰρ ἐν τοῖς ἀπὸ θεοῦ
διδομένοις δευτερεύων τοῦ Εὐθυμίου· ταῦτά με πείθει καὶ φρονεῖν καὶ λα-
25 λεῖν τὸ κατ' ἄκρας ἐρᾶν σου, καὶ πάντα ἥγημαι σκύβαλα, ἵνα κερδήσω Εὐθύ-
μιον· καὶ τὸ τοῦ πολύτλα Ἰώβ, ἐγὼ μὲν ἠρώτησα, σὺ δέ μοι ἀπόκριναι, ἀλλὰ
μὴ ἀντιφέρῃς τὸ τοῦ ἐρωτᾶν ἑτερόσημον, ὃ δηλοῖ τὴν παραίτησιν, ὡς τό,
ἐρωτῶ σε, ἔχε με παρῃτημένον· ὃ μέρος τοῦτο τῆς λέξεως ἐν τῷ περὶ με-
θόδου δεινότητος ὁ τεχνογράφος ἐδίδαξεν. εἶχον καὶ πλείω παρακαλεῖν, ἀλλ'
30 ὁ ἵππος ἐπὶ τῶν νώτων φέρων τὴν ἐφεστρίδα· προκαλοῦμαι γὰρ ἢ ἀπάγομαι
ἢ βιάζομαι εἰς Πρίλαπον καὶ εἰς Σκόπια καὶ εἰς ἐκτοπισμὸν τὸν ἐπέκεινα,
νυμφοστολουμένης ἐκεῖσε τῆς θυγατρὸς τοῦ κραταιοῦ Κομνηνοῦ· καὶ ἐπε-
σχέθη μοι παρὰ τοῦτο καὶ γλῶσσα καὶ ὅσα φωνητικὰ τῷ βάρει τοῦ ἐπι-
τάγματος, γέροντι ὄντι καὶ ποδαλγοῦντι καὶ τὴν φυσικὴν ἀπομαρανθέντι
35 ἰσχύν. καὶ τάχα τοῦτό ἐστι, τὸ ἄλλους ἡμᾶς ζωννύειν, ὅταν γηράσωμεν, εἶτουν
τῷ οἰκείῳ περισφίγγειν κελεύσματι καὶ ἄγειν ὅπου μὴ θέλωμεν. καὶ δίδου
μοι συνοδίαν εὐχήν, τὴν καλὴν συνοδοιπόρον καὶ ἄψευστον, καὶ γίνοιο τὰ
εἰς τὸν σὸν Ἰωάννην, ἅπερ οὗτος εἰς τὸν Εὐθύμιον.

55

Τοῦ αὐτοῦ πρός τινα ἱερέα Πατρηνὸν αἰτήσαντα μαθεῖν κεφαλαιώδη τινὰ ἀπὸ τῆς τῶν Λατίνων αἱρέσεως + Bl.

Θεοσεβέστατε δέσποτα καὶ κατὰ θεὸν ἀδελφέ· διαφόρους σου γραφὰς ἐδεξά-
μην, τὰς μὲν νοσῶν, τὰς δὲ καὶ περιφερόμενος, καὶ διὰ τοῦτο ἐσιώπησά σοι

ἐς πάσας, οὐ κατὰ γνώμην ἑκούσιον, ἀλλὰ τῶν νόσων καὶ τῆς περιφορᾶς 5
γενομένων εἰς κώλυμα. τὰ δὲ νῦν γράφω, ὀλίγα καὶ ταῦτα, διὰ τὰς τοιαύτας αἰτίας· πλὴν ὅτι χρή σε μὴ ἀποκαμεῖν διδάσκοντα· οὐ γὰρ ὁ καθ' ἑαυτὸν ἀρεταίνων μακαριστός, ἀλλ' ὁ καὶ τοὺς ἀδελφοὺς στηρίζων καὶ διδάσκων τὰ βέλτιστα· οὕτω γὰρ γέγραπται· μακάριος ὃς ποιήσει καὶ διδάξει. ὥσπερ γὰρ ὁ διδάσκων μὲν ἄλλους, αὐτὸς δὲ μὴ ποιῶν, χαλκὸς ἠχῶν καὶ κύμβαλον 10
ἀλαλάζον λογίζεται, οὕτως, οἶμαι, καὶ ὁ πράττων καθ' ἑαυτόν, τῆς δὲ τῶν ἀδελφῶν βελτιώσεως μὴ φροντίζων. καὶ ἔστι ταῖς ἀληθείαις οὕτω μὲν τὸ καλὸν μονοειδὲς ὡσανεὶ καὶ μονόφθαλμον, ἑτέρως δὲ πολυειδές τι καὶ πολυμέριστον. οὕτω ποίει· ἐν τούτοις ἴσθι· ἐπεὶ δὲ χρήζῃ καὶ τῆς ἀπ' ἐμοῦ συγκροτήσεως, γίνωσκε, ὡς οὐδεὶς τῶν ἁγίων πατέρων τὴν τῶν Λατίνων θρη- 15
σκείαν ἢ τὴν θυσίαν ἀποδέχεται

[Die Fortsetzung fehlt.]

56

[Der Eingang fehlt.]

35 a *καὶ τὸ σεβάσμιον τοῦ ἐνδύματος· καὶ φθάσομέν σε μικρὸν ὅσον, τὴν οὐκ ἐγκαίρως προφθάσασαν· σὺ δέ μοι ὁ καλὸς τὰ πάντα καὶ φίλος Ἀλέξιος τίμησόν σου τὴν ἀξίαν ὥσπερ πᾶσιν ἀγαθοῖς τρόποις, οὕτω δὴ καὶ μακροθυμίᾳ καὶ τῇ ἐπὶ τῷ θανάτῳ τῆς ἀπελθούσης φιλοσοφίᾳ. εἰ δέ σε ὁ τῶν παίδων χορὸς ἀνιᾷ ἀπορφανισθείς, ἀλλ' ἔλπισον ἐπὶ Κύριον, καὶ αὐτὸς ποιή-* 5
σει· αὐτὸς γάρ ἐστιν ὁ εἰπών, οὐ μή σε ἀνῶ οὐδ' οὐ μή σε ἐγκαταλίπω. αὐτὸς καὶ σὲ καὶ ἡμᾶς καὶ τὰ τέκνα πολυειδῶς ἐπισκέψαιτο. +

57

35 a *Πρὸς τὸν ἁγιώτατον πατριάρχην* +

Ἐνοδίῳ τῷ παρόντι περιτυχών, θεία μοι καὶ ἱερὰ κεφαλή, πατριαρχῶν ἁγιώτατε, ἐνόδιον ὥσπερ σχεδιάζω καὶ τὴν γραφὴν καὶ ἀναλόγως ἐστενωμένην διὰ τὸ στενὸν τοῦ καιροῦ καὶ οὐκ ἐφαπλουμένην εἰς τὸ πλατύτερον, ὅ μοι καὶ μᾶλλον ἦν πρὸς θυμοῦ, ὡς μακροτέρᾳ τῇ διαλέξει, τῷ ἐμῷ δεσπότῃ προσο- 5
μιλήσω, τῆς τε ἀρχαίας ἀναμνήσω φιλίας καὶ συνουσίας καὶ ὅπως ἡ ἁγιότης σου τοῦ μεγίστου ἐπιβᾶσα τῶν θρόνων ἀθρόον ἐκείνων πάντων καὶ παντελῶς, ὡς ἔοικεν, ἐξελάθετο, μήτε γράμματι τὴν εἰς τὸν μέγαν θρόνον ἀνάβασιν τῷ πάλαι φίλῳ γνωρίσασα (σύνηθες ὂν καὶ ταῦτα τοῖς ἑκάστοτε πατριάρχαις, γνωρίζειν διὰ γραμμάτων τοῖς ἀδελφοῖς τὴν εἰς τὸν θρόνον τοῦτον 10
σφετέραν πρόοδόν τε καὶ πρόβασιν), μηθ' ὡς ἀδελφοῦ μνημονεύσασα, ἴσως διὰ τὸ μεταξὺ ἀμφοτέρων χάσμα πολυβαθές, ὅπερ Ἰταλικὴ τυραννὶς ἡμῖν ἐπεβόθρευσεν· οὐ γὰρ ὑπεροψίαν εἴποιμι ἂν τὴν σὴν σιωπήν, ᾧ καὶ μᾶλλον πιστεύειν πείθουσί με πολλοί· ἅμα δὲ καὶ κατὰ τόλμαν ταύτην προσονειδίσω, μὴ μόνον εὐεργετήσασαν ἡμᾶς ὁπωσοῦν, ἀλλὰ καὶ προσαφελομένην, 15

ἥν μοι δέδωκεν ἐξαρχίαν τῶν παρ' ἡμῖν πατριαρχικῶν μοναστηρίων καὶ λοιπῶν ἱερῶν τοιούτων δικαίων ὁ τῆς ὁσίας μνήμης ἁγιώτατος πατριάρχης κῦρ 'Ιωάννης ὁ Καματηρός, ὃς ἐξόχως ἐφίλει τὴν σὴν ἁγιότητα καὶ ταῖς ἐκκλησιαστικαῖς προκοπαῖς φιλοτιμεῖσθαι προεθυμεῖτο, καὶ ὡς πρέπον, οἶμαι,
20 ἐστὶν ἀπονέμειν καὶ κειμένῳ τὸ προςῆκον σεβάσμιον καὶ τοῖς ἐκείνου θείοις ἐντάλμασιν. ἀλλὰ τὴν μὲν ἀφ' ἡμῶν μετάθεσιν τοῦ ἱεροῦ ἐνεργήματος πρὸς τὸν Σαμψὼν μετεβίβασε· Σαμψὼν ἐκεῖνον, ὃν ἄνδρα μὲν ὀλίγον ἡ φύσις ἐπλάσατο, στατίων δὲ ἡ ἐν τοῖς τῆς Διακονίσσης εἶχε παρακαθήμενον, ἐν ᾗ ἐσυμβολαιογράφει καὶ τῷ τοῦ τόπου ὑπεδρήστευε ταβελλίωνι, ἣν οὔτε ψέ-
25 γειν ἔχω οὔτ' ἐπαινεῖν· τὴν δὲ σύγκρισιν τῶν προσώπων τῇ διακριτικωτάτῃ μεγαλωσύνῃ σου ἀνατίθημι, εἴ που καλῶς αὕτη γέγονε καὶ πρέπουσα τῇ σοφίᾳ σου, ἢ ὅτι τάχα τῶν ἀγνωμόνων ἡμεῖς (οὕτω γὰρ ὁ Πλάτων ἐκάλει τοὺς γνῶσιν ὅλως μὴ ἔχοντας καὶ τῶν κανόνων ἀνεπιστήμονας)· ὁ δέ, ὡς ἐπ' ἀμφοτέροις ἴσως πλεονεκτῶν, καὶ προτίμηται καὶ ἐντέταλται; κἂν εἰς οὐδὲν
30 παρείλοντο καὶ ὁ Σαμψὼν καὶ τὸ ἔνταλμα τὴν ἡμετέραν ἐπὶ τοῖς μοναστηρίοις ἐπισκοπήν, οὕτω τῶν πραγμάτων βουλομένων ἐνταῦθα καὶ τοῦ Σαμψὼν μικρόν τι φανέντος καὶ παρὰ πόδας ἀποκρυβέντος· ὃ καὶ τὸν Πυθαγόραν φησὶ ποιῆσαί ποτε, ἐρωτηθέντα μὲν πόσος ὁ τῶν ἀνθρώπων βίος ἐστί, μικρὸν δὲ φανέντα καὶ πάλιν ἀποκρυβέντα καὶ τοῦ βίου μέτρον τὴν ὀλίγην
35 θέαν πεποιηκότα. ὑπεραπολογοῦμαι δέ σου τὸ ἐπὶ τούτοις ἀγνόημα· εἰ γὰρ ἐγίνωσκες, οὐκ ἄν ποτε τὸν φίλον ἠτίμασας ἀρητῆρα· ἀλλὰ ταῦτα φερέσθω καθὼς δοκεῖ τῷ καιρῷ· δοκεῖ δέ, ὡς καὶ τῇ τῶν πραγμάτων μεταπτώσει δοκεῖ. ἐγὼ δ' οὐκ' ἔχω λόγῳ δηλῶσαι, ὁπόσην ἔσχον κατὰ ψυχὴν χαρμονὴν ἐπὶ τῇ σῇ ἀνυψώσει, καὶ ὡς εὐθὺς ἐνέπεσέ μοι πρὸς νοῦν τὸ παλαιὸν ἐκεῖνο
40 ἀπόφθεγμα, τότε τὰς πόλεις φάσκον ἕξειν καλῶς, ὅτε φιλοσοφία προςλάβῃ τὸ δύνασθαι. εἰ δὲ κατ' ἄμφω φιλόσοφος ὁ λαβὼν τὴν δύναμιν πρὸς θεοῦ, τὴν θείαν δηλονότι σοφίαν καὶ μένουσαν καὶ τὴν χαμαὶ συρομένην ταύτην καὶ ῥέουσαν καὶ μεγαλιζομένην διὰ μόνην τὴν στροφὴν καὶ τὰ φθέγματα, τίς οὐκ ἐλπίσειεν, ὡς ἐκ τῶν κοσμικῶν ἐναντίων εἰς τὰ ἐναντία καὶ τὰ χρηστότερα
45 μεταπεσοῦνται τὰ πράγματα; πρὸς τὸν || θεὸν τῇ ἀρετῇ δυναμουμένου σου Bl. 35b καὶ τῇ γνώσει πάντως πρὸς τὴν κοσμικωτέραν διακυβέρνησιν; καὶ σῴζοιό μοι ἐς χρόνους, καὶ μέμνησό μου τοῦ πάλαι φίλου καὶ νῦν οὐχ ἧττον φιλοῦντός σε. παρεμπλέκω δέ τι πρᾶγμα καινότερον, οὐκ οἶδ' ὅπως καὶ κατὰ τίνα λόγον ἢ κανόνα παρὰ τῆς σῆς ἁγιωσύνης πραχθέν. ἔστιν ἐνταῦθα καὶ παρ'
50 ἡμῖν μοναχός τις τὸ σχῆμα, ὄνομα Νίκων, εἰ δὲ καὶ τὸν τρόπον, οὐκ οἶδα· Θεὸς οἶδεν. οὗτος αὐτονομίᾳ θέλων συζῆν καὶ ἀνεπισκόπητος εἶναι, ἐνοικεῖ μὲν τῇ παρὰ τῶν ἡμετέρων μεγάλων Κομνηνῶν, τοῦ τε κῦρ Μιχαὴλ ἐκείνου καὶ τοῦ νῦν κρατοῦντος κῦρ Θεοδώρου, νεουργουμένῃ μονῇ· καθεῖλε δὲ τὸν ἐπὶ σταυροπηγίῳ τοῦ ὑφ' ὑμᾶς συναδελφοῦ ἡμῶν τοῦ Χιμάρας ἀνοικοδομού-
55 μενον ναὸν παρὰ τοῦ ἀοιδίμου κῦρ Μιχαὴλ τοῦ Κομνηνοῦ· ἐν ᾧ καὶ ἡ ἐπὶ τῇ

57 [29] προτίμηται nicht zu beanstanden — [32–33] πυθαγόρα — [36] ἠτήμη(σας)

καταβολῇ τῶν θεμελίων ἀνεφωνήθη παρὰ τοῦ Χιμάρας εὐχὴ καὶ λείψανα μαρτυρικὰ κατετέθησαν καὶ πάντα τὰ κατὰ τὸν ἐπὶ τοῖς τοιούτοις θεῖον νόμον ἐπισκοπικῶς ἐτελέσθησαν· ἐχόμενα δὲ τούτου καὶ πάνυ τι συνημμένως ἕτερον ἐπὶ σταυροπηγίῳ τῆς σῆς ἁγιωσύνης οἰκοδομεῖ, ὡς πάντως τὴν ἐπισκοπικὴν ἐποπτείαν ἀποφορτίσηται· τοῦτο δὲ οὔτε μοναχοῦ οὔτε ἀνδρὸς ἐπαγγειλαμένου, ὡς οἶμαι, τὰ ταπεινὰ τῷ θεῷ. καὶ τέως ἐψεύσατο· οἱ γὰρ λαμβάνοντες σταυροπήγιον μετὰ τῶν ἄλλων ὧν ἀσφαλίζονται καὶ τοῦτο ἐγγράφονται, τὸ μὴ ἔχειν τὸν κατὰ χώραν ἐπίσκοπον δίκαιόν τι ἐφ' ᾧ τόπῳ τὸ πατριαρχικὸν ζητοῦσι καταπηχθήσεσθαι σταυροπήγιον. ἐνταῦθα δὲ καὶ τὸ τοῦ Χιμάρας ἐπισκόπου προανατέτακται δίκαιον, καὶ ὁ Νίκων κατὰ πολλὴν τὴν ἐγγύτητα τῷ προτέρῳ τὸν ἐκ κενῆς ναὸν καινουργῶν, τούς τε λίθους τοῦ ἐπισκοπικοῦ ναοῦ ἀφαιρεῖται καὶ τῷ καινιζομένῳ ἐντίθησι, καὶ τὸν θεμέλιον καταπατεῖσθαι καταλιμπάνει, ἐν ᾧ τὰ μαρτυρικὰ λείψανα κατετέθησαν. ἐπαύξων δὲ ὁ Νίκων οὗτος τὸ αὔθαδες ἑαυτοῦ καὶ τὸ τῆς ἐπισκοπικῆς χειρὸς παντελῶς ἀφηνιαστικὸν καὶ ἀπόστοργον καὶ τοῦτο τὴν σὴν μεγαλειότητα προσῃτήσατο, ἐξαρχίαν τῶν ἐν Βαγενιτίᾳ μονῶν· ὁ ἡσυχαστὴς τὸν θεατρισμὸν καὶ ὁ ταπεινὰ ὀφείλων φρονεῖν ἐπισκοπικὴν καὶ διεξαγωγὴν καὶ κυβέρνησιν ἔλαβεν ἀκωλύτως, διαγορεύοντος τοῦ ἐνταλτηρίου κατὰ τὴν τοῦ καλογήρου τούτου ἀναφορικὴν αἴτησιν μηδὲ τὸν Χιμάρας αὐτὸν μετόν τι ἔχειν ἐπὶ τῷ ἐκεῖσε μέρει τῆς ἐνορίας αὐτοῦ, ἀλλὰ τὸν Νίκωνα τοῦτον περιιέναι τοῦτο τὸ μέρος καὶ τὸν ἐν αὐτῷ τοῦ ἐπισκόπου λαὸν διακυβερνᾶν καὶ καταβάλλειν πρὸς τὸν ἐπίσκοπον τὸ ἐκεῖθεν κανονικόν, τοῦτο μόνον φιλανθρωπευσαμένου τοῦ γράμματος καὶ τῷ ἐπισκόπῳ ἀπονειμαμένου τὸ ἔλαττον, τὰ κανονικὰ δηλαδή, τὸ δὲ μεῖζον ἀφελομένου, τὴν διδασκαλίαν καὶ τὴν ἐπισκοπικὴν διεξαγωγήν, δι' ἣν τὰ κανονικά. ποῦ ταῦτα γέγραπται; ποῖος τῶν ἱερῶν κανόνων ταῦτα διαγορεύει; ποῖος τῶν νόμων τῆς πολιτείας; τίς δὲ τῶν ἀπελθόντων ἁγιωτάτων πατριαρχῶν τοιαύτην καινοτομίαν ἐκαινοτόμησε; ταῦτα εἰ μὲν διορθώσεται ἡ ἁγιωσύνη σου, ποιήσει πρᾶγμα κανονικὸν καὶ τῆς σῆς μεγαλειότητος ἄξιον· εἰ δέ γε καὶ ἡμᾶς τοὺς ἀνενεγκόντας περὶ τούτου καὶ ἐν τῷ παρόντι παρόψεται καὶ τὴν πρᾶξιν μένειν ἐπὶ χώρας ἐάσει, ἀλλ' ἡμεῖς οὐκ ἐφησυχάσομεν ἀναφέροντες περὶ τούτου τὴν μεγάλην ἁγιωσύνην σου καὶ κατὰ χώραν ἐνταῦθα μετὰ τῶν ἑτέρων συναδελφῶν κατὰ τοῦ μὴ καλῶς πραχθέντος ἀγωνιζόμενοι. ἡ ἁγία εὐχὴ τῆς μεγάλης ἁγιωσύνης σου χαρισθείη μοι πολυχρόνιος +.

60 65 70 75 80 85

58

Bl. 35 b

Πρὸς τὸν Τορνίκην κῦρ Εὐθύμιον +

Ἡμέρα Κυρίου ὡς παγὶς ἐλεύσεται ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς, τὰ ἱερά φασιν εὐαγγέλια, ἡμέραν δὲ Κυρίου νοοῦμεν τὸν αἰῶνα τὸν ὄγδοον, καθ' ὃν παραστησόμεθα τῷ κριτῇ λόγον τῶν ἐνταῦθα ὑφέξοντες, διαπορθμευόμεθα δὲ πρὸς ἐκεῖνον θανάτῳ πάντως καὶ διαλύσει τῆς 5

τετρακτύος, ἐξ ὧν συνιστάμεθα. γῆρας δὲ θανάτου ἐχέγγυον καὶ χώρα λευκὴ πρὸς θερισμὸν εὐτρεπής, καὶ ἡ ἐκεῖθεν διάβασις παρὰ πόδας γηράσαντί μοι ἐς ἔσχατον· ἀλλ' οὕτω μου ἔχοντος ἡλικίαν γήρους, ἀπὸ καραδοκίας ἀποβιώσεως, ἔτι ἀτελὴς ὁ τῆς Παντυμνήτου ναός. καὶ προσυπαντᾷ μοι κατὰ
10 *στόμα παραίνεσις Ἡσιόδειος, μετὰ τῶν ἄλλων ὑποτιθεῖσα καὶ ταῦτα τῷ ἀναγνώστῃ, || μηδὲ δόμον ποιῶν ἀνεπίξεστον καταλίπειν, μή τοι ἐφεζομένη* Bl. 36 a *κρώζῃ κορώνη λακέρυζα, τοὺς τῶν ἀνθρώπων, οἶμαι, σκώπτας καὶ κρωκτικοὺς ὑποδηλοῦσα τῷ τῆς κορώνης ὀνόματι, οἳ ἐπειδὰν ἔργον ἴδωσιν ἀτελές, ἐπικαθήμενοι ὥςπερ τοῦ ποιητοῦ κατακράζουσιν. ἀλλ' ἐρέσθω Ἡσίοδος· τὰ*
15 *θειογραφούμενα δὲ μέμψιν ἐπάγει τοῖς μὴ τελειωταῖς τῶν πρακτῶν, λέγοντά που ἐν μέρει· ἰδοὺ ἄνθρωπος, ὃς ἤρξατο ποιῆσαι καὶ οὐκ ἐτέλεσεν. ἀλλὰ χρημάτων μὲν εὐπορῶ, δώσει δὲ χρυσίον ὁ λέγων· ἐμόν ἐστι τὸ χρυσίον καὶ ἐμόν ἐστι τὸ ἀργύριον, καὶ ᾧ θέλω δίδωμι τοῦτο· τεχνίτου δὲ πέρι, σύ μοι γενοῦ συνεργὸς καὶ πᾶσα ἡ πανοικία τοῦ ἐμοῦ σεβαστοῦ καὶ ἀξιοσεβά-*
20 *στου γαμβροῦ σου καὶ ὅσαι ψυχαὶ φιλόθεοι καὶ φιλόκαλοι. καὶ πείσατε τὸν αὐτόθι ζωγράφον κῦρ Νικόλαον ἰδεῖν καὶ τοὺς ἐρημοπολίτας ἡμᾶς καὶ δουλεῦσαι τῇ Παντυμνήτῳ ἐμμίσθως, θεραπευτῶς, αὐτοφιλοτίμως· ὁ γὰρ κατὰ Θήβας πρότερος Ἐπιφάνιος γυναικοκρατεῖται, ὡς πείθομαι, καὶ οὐκ ἀπαντᾷ πρὸς ἡμᾶς, καὶ πρὸς τὴν τῶν ἡμετέρων προστάτιδα καλὴν κιβωτὸν οὐκ ἀνα-*
25 *στρέφει τὸ βρῶμα τοῦτο σιτούμενος. εἷς μὲν δὴ παρακλητικὸς οὗτος λόγος· δεύτερος δὲ ὁ περὶ ἑρμογλύφου· χρῄζουσι γὰρ οἱ πρόναοι τοῦ ναοῦ καὶ ὅσα ἐκ καινῆς ποιηθήσονται λίθων ξεστῶν εἰς παραστάδας, εἰς ἔδαφος. καὶ συγκόμισαί μοι, αἰδέσιμος κεφαλή, μετὰ σοῦ καὶ τοὺς ἄνδρας· καὶ ὅ φησι περὶ τῶν διψώντων ἡ θεία γραφή, ἐπιτρέπουσα ἄνευ ἀργυρίου βαδίζειν τούτους*
30 *καὶ ἀγοράζειν ἀπὸ ζωτικῆς πηγῆς τῆς τοῦ πνεύματος. οὕτω δὴ καὶ ἡμεῖς· συνεπτυγμένων τῶν βαλαντίων ἡμῶν κατὰ τὸ πάντη ἀνάργυρον, συγκοινωνησάτω μοι καὶ τοῦ μισθοῦ καὶ τῆς πρὸς θεὸν ἀντιχάριτος· ἔρρωσό μοι καὶ σῴζοιό μοι πρὸς εὐθυμίαν καὶ πρὸς παράκλησιν.*

59

Πρὸς τὸν ἐπίσκοπον Βελᾶς κῦρ Κωνσταντῖνον. + Bl. 36 a

Ἤκουσταί μοι θορυβηθῆναί σε ἐπὶ τῷ σταλέντι σοι ὁρισμῷ περὶ τῶν ἐνοριῶν· ἀλλὰ μὴ μαλακίζου, μηδὲ κατάπιπτε, ἀνδρίζου δὲ μᾶλλον καὶ ἴσχυε καὶ ζῶσε ὡς ἀνὴρ τὴν ὀσφύν σου, φησὶν ὁ Ἰώβ, καὶ πρὸς τὰς τῶν πραγμά-
5 *των ἐπηρείας ἀντίβαινε· αἰσχρὸν δὲ ἄλλως τὸν ὑπομείναντα ἐμπρόσωπον ἀπειλὴν καὶ βαρεῖαν ἐνεγκόντα ὀργὴν ἐπὶ δήμου, ἐπὶ λαοῦ, καὶ νενικηκότα γράμμα ψιλὸν ὑποπτήσεσθαι, καὶ μυωξίαν ἐπιζητεῖν, ὡς ἐγκαταδῦναι ταύτῃ διὰ τὸν φόβον. εἰ μὲν οὖν ἀληθῆ τὰ πρῶτα καὶ ἠνδρίσω καὶ ἠγωνίσω καὶ νόμους καὶ κανόνας τετίμηκας καὶ ὁ τῶν ἐπαίνων ἐπλάκη σοι στέφανος,*

58 [22] *αὐτῶφϊλοτῖμ(ως)* — [28] *αἰδέσιμε* 59 [6] *ἐνεγκόντϊ*

πῶς ἄρτι ὁ τὴν οὐσίαν μὴ φοβηθεὶς τὴν τῆς οὐσίας ὑποτρέμεις σκιάν; εἰ δὲ 10
ψευδῆ ἐκεῖνα, ἄρα καὶ ταῦτα· εἰ δ' ἀληθῆ, ὥςπερ ἦν, μηδ' ἐπὶ τούτοις ὑπό-
τρεμε· οὔτε γὰρ τὸ φῶς σκότος ἔσται ποτέ, οὔτε ἡ ἀλήθεια ψεῦδος. εἰ δὲ
καὶ σὺ μὲν ἐπὶ πέτρας ἐρείδει, ὁ δὲ ἀντίθετός σοι ἵσταται ἐπὶ ψάμμου, ἵνα
τί ἀγωνιᾷς τὸν οὐκ ἐπ' ἀσφαλοῦς βεβηκότα; ταῦτα φρόνει, ταῦτα λογίζου,
καὶ πεφύλαξό μοι θεῷ καὶ ἡμῶν μέμνησο. 15

60

Bl. 38a

Πρὸς τὸν Γοριανίτην κῦρ Νικηφόρον +

Εἰς ὄψιν ἐλθὼν τῷ δοκιμωτάτῳ τούτῳ ἀρχιητρῷ καὶ πεῖραν λαβὼν τῆς αὐτοῦ
λογιότητος καὶ τῶν ἀφελῶν ῥημάτων ἐμῶν αὐτῷ μεταδούς, ηὐφράνθην μὲν
ὅσον εἰκὸς καὶ τὴν ναῦν ἐκείνην ἐπῄνεσα, μεθ' ἧς ἐνταῦθα διεπλωίσατο, φόρ-
τον ἐξ Ἑῴας ταύτῃ ἐνθέμενος λόγους, οἳ καὶ συνναυαγοῦσι τῷ ναυαγήσαντι, ὥς 5
τις ἔφη τῶν ἐξωτερικῶν φιλοσόφων, καὶ τῷ σῳζομένῳ συνσῴζονται. ἡ μὲν
οὖν ἐμὴ ὁμολογία περὶ τούτου τοιαύτη· ἡμεῖς δ' οὐδὲν ἐνθέμενοι λόγιον τῇ
τούτου ψυχῇ οὐδὲ τὴν ἐπαινετὴν ἐλπίζομεν ἀντιφώνησιν, πλὴν ὅτι συνηγμένος
μὲν ὁ νοῦς τῶν γερόντων, τῶν δὲ νέων αἱ φρένες, ὡς ὁ τοῦ Μέλητος ἐγνω-
ματεύσατο, ἠερέθονται. ὁ δὲ δεχὰς βιβλίων ἰατρικῶν καὶ ἐπὶ γλώσσης φέρων 10
πάντα γαλήνεια· καὶ οὐ μόνον, ἀλλ' ὅσα καὶ οἱ πρὸ τούτου ἐτεχνογράφησαν
ἰατροί· καὶ ἔστι τούτῳ μὴ μόνον ὃ κατ' ἐρώτησιν ἐκ βιβλίων ἰατρικῶν, ἀλλὰ
καὶ αὐτὴ ἡ καθωμιλημένη τούτου διάλεκτος παίδευσις ὅλη καὶ λελογισμένη
ἀκρόασις. καὶ εἴ γε παρῆν μοι ἀμεσολάβητος ἡ πρὸς τὸν ἰατρὸν συνουσία,
ἐπεί, ὡς ἀνεφωνήθη, πρὸς ἑαυτὸν ἐπι‖στρέφει τῶν παρηβηκότων ὁ νοῦς, ἐγε- 15
νόμην ἂν ἐν ὀλίγῳ ἐκ τῶν συνουσιῶν τοῦ ἀνδρὸς τεχνίτης μὲν οὐ θαῤῥῶ λέ-
γειν, πεπαιδευμένος δὲ ὅμως. οὕτω μοι καὶ ὁμιλία τούτου καὶ συνουσία μα-
κρὸν ἐνῆκαν τὸ ὄφελος, ὡς καὶ ἀπάρτι βρενθύεσθαι καὶ παρασκαίρειν θέλειν
τοῖς ἰατροῖς, ὡς ταῖς μάρωσιν οἱ πῶλοι· ἕως ὧδε τὰ περὶ τούτου. τὰ δὲ τῆς
ἐντυχίας τούτῳ, ὁποῖα πληροῖ ἀληθῶς τὴν τοῦ ἀνθρώπου ὑπογραφὴν καὶ ζῶόν 20
ἐστι συναγελαστικόν τε καὶ ἥμερον, ἀγάπης δὲ ὅρος· καὶ τὴν ψυχὴν οὐκέτι
μὲν τίθησιν ὑπὲρ φίλων, ἦ γὰρ ἂν καὶ τοῦτο, ἐὰν ἀπῄτησεν ὁ καιρός, ἐξ
ὧν δὲ ἡμᾶς ὥς τι χρέος ἀπῄτησεν καὶ τοῦτο δέδωκε σημειώσασθαι, τὸ πρός
σε γράμμα, πείσας ἡμᾶς καὶ πρὸ αὐτοῦ πεπεισμένους, ὡς ἔχεις ὡς ἡμᾶς μνη-
μονευτικῶς, ὡς ἐπαινετῶς, ὡς φιλίως, κἀγὼ ἐτιθέμην. ἀλλ' οὐχ ὅτι τόδε ἤδη 25
καὶ τόδε, ἀλλ' εἰ τόδε· οἷον οὐχ ὅτι σποδιὰ τυχὸν ἐνταυθοῖ, αὐτίκα ἤδη καὶ
πῦρ, ἀλλ' εἰ ἔσεται πῦρ, ἤδη ἔσται καὶ σποδιά. καὶ οὔσης οὐσίας ἔσται καὶ
ζῷον· τίς γὰρ οὐσία τὸ ζῷον· ἀναιρεθείσης δὲ ταύτης οὐδὲν τῶν ὑπὸ τὴν οὐ-
σίαν ἐσσεῖται· καὶ πρόσχες, εἰ ὡμολογήσεταί σοι τὰ φιλικὰ πρὸς ἡμᾶς, ἀνάγκη
πάντως γνωρίζεσθαί μοι καὶ τὰ τῆς φιλίας ἀποτελέσματα· ὡς γὰρ ὁ λόγος 30

59 [13] Neue Hand hat das Ursprüngliche in *ἐρείδῃ* korrigiert
60 [3] *ηὐφράνθημ(εν)*

ἔχει· καὶ ἀληθῶς, ὑπόστασις τῶν λόγων αἱ πράξεις καὶ τῶν φιλικῶν διαθέσεων συστάσεις αἱ ἀντιλήψεις. ἐπεὶ γοῦν καί σοι τὸ φιλικὸν πρὸς ἡμᾶς ἀνάπτεται πῦρ, ἔστιν ἀνάγκη ὁρᾶσθαι καὶ τὴν ἐκ τούτου τηλαύγειαν. εἰ δ' ἄλλως ἔχει, ἔοικεν ἄνθραξι φυλασσομένοις ἐν σποδιᾷ· οὗτοι δὲ ὑποκρυπτόμενοι τῇ αἰθάλῃ 35 *οὔτε τὸ φῶς ὑπόψιον φαίνουσιν, οὔτε τὴν ἐκ τούτου αὐγήν, ἀλλὰ σκοτεινὴν δεικνύουσι τὴν οἰκίαν καὶ τὸ σύμπαν ἀφώτιστον. τοιοῦτοι δὲ καὶ ἡμεῖς, ἐκ τῆς τῶν πραγμάτων συμπτώσεως καὶ σκοτεινοὶ καὶ ἐπίλυποι καὶ τὸ τῆς ἀγάπης ὡς ἀνατέτακται φῶς, ὁ εὐκλεὴς Γοριανίτης καὶ ὁ ἐπίσημος, οὐκ ἐπιλάμπει ἡμῖν, οὐδὲ διασκεδάζει τὰ λυπηρά. ἓν τούτων καὶ τὸ κατὰ τὸν Ἀετὸν τὴν ἐπισκο-* 40 *πήν. δύο γὰρ παρ' αὐτῇ κειμένων, οἰκονομίας πνευματικῆς καὶ δημοσίων τελῶν, ὑμεῖς ἀμφότερα παρεμίξατε. καὶ ποῦ τό, ἀπόδοτε τὰ καίσαρος καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ; ἀλλ' ὡς τὰ τῆς ἐκκλησίας συγκείμενα, οὕτω δὴ καὶ ὁ ἡμέτερος οἰκονόμος, λογαριαστοπνευματικοοικονόμος, ὁποίους φασὶν οἱ τῶν Ἑλλήνων μῦθοι τοὺς ἱπποκενταύρους καὶ τραγελάφους ἤ, τὸ καιριώτερον,* 45 *κόρσαι ἀναύχενες, τὰ Ἐμπεδόκλεια τέρατα· οὐδὲ γὰρ οὐδὲ καὶ καθ' ἡμετέραν ἐπιτροπήν, ἣν εἰς κεφαλὴν ἐγὼ τίθημι τῆς τοῦ ἐπισκοπείου οἰκονομίας, οἰκονομεῖ ὁ οἰκονομῶν. οὕτως ἡμᾶς ἐσχολάσατε. ὅταν δὲ ὧδε κἀκεῖσε προστάγματα βλέπω ἡγουμενείας προβλητικά, εἰς τὸ περιζώσασθαι ξίφος ἔρχομαι καὶ φαρέτραν. εἰ γὰρ τὰ τοῦ ἀνθρωπίνου βίου μεμέρισται εἰς εὐαγγέλιον καὶ εἰς* 50 *μάχαιραν, ὑμεῖς δὲ ταύτην μὲν περιζώννυσθε, ἀλλὰ καὶ τοῦτο χειρίζεσθε, ἀνάγκη κἀμὲ τοῦ ἑνὸς ὄντα μέτοχον συμμετέχειν καὶ τοῦ λοιποῦ, ἵνα φύρδην φέρωνται πάντα καὶ ἀναμὶξ καὶ μηδὲν εἴη τὸ κόσμον διαστέλλον καὶ πνεῦμα· τὸ δὲ τοὺς σφραγιζομένους ἐν πνεύματι ὡς παπάδας διγάμους ἐκβάλλεσθαι, ἱερεῖς ὄντας καὶ εὐλαβεῖς, καὶ ἀγραμμάτους ἀντικαθίστασθαι, παρὰ πᾶσι ταῦτα ἐπαι-* 55 *νετά; ἤθελον εἰς μῆκος ἐκτεῖναι τὸν λόγον καὶ πρὸς τὴν σὴν ἀγάπην ἀποκλαύσασθαι τὰ ἐμά· πλὴν τὴν ἀπόκλαυσιν παρεθέμην τῇ κατὰ πρόσωπον ἐντυχίᾳ· ἐρωτῶ δέ, τίς ἐστιν ὁ τοῦ μεσάζοντος ὅρος; ἐμοὶ δοκεῖν, οὐ τῷ εἰσαγγέλλειν τοὺς λόγους τῷ Κυρίῳ καὶ ἐξαγγέλλειν καὶ τῶν πορισμῶν τὰ ποσὰ καὶ τὰς ἱκεσίας τῶν δεομένων· ἴσως εἴπῃς, ὁ μέσος ἑστηκὼς τοῦ Κυρίου καὶ τοῦ λαοῦ,* 60 *καθὰ καὶ ὁ Κύριος μεσίας ὠνόμασται, ὡς ἀνθρώπων μεσιτεύσας καὶ τοῦ πατρός· ἐγὼ δὲ κατὰ τὴν ἐμὴν ἐτυμολογίαν εἴποιμι ἂν μεσάζοντα λέγεσθαι τὸν τὸ δέον ποιοῦντα καὶ τὸ μὴ πρέπον κωλύοντα. τὸ δὲ πάντα ἐπιτρέπειν, ὡς ἔτυχε, καὶ μὴ διαστέλλειν, σύγχυσιν ὀνομάζω πραγμάτων καὶ ταραχὴν καὶ συγκόλλησιν||οὐρανοῦ τε καὶ γῆς καὶ τῶν ἀσυνδυάστων συνδύασιν· ἀλλ' ἐπεὶ ἀπεθέμην* Bl. 3 65 *τὴν τῶν πλειόνων ἀπαγγελίαν τῇ ἐντυχίᾳ, ζῆθι πολυχρόνιος καὶ μέμνησό μου.*

61

Πρὸς τὸν Γοριανίτην κῦρ Νικόλαον + Bl. 4

Εἰ μὲν ἦσθα τῶν δεομένων, εἶχεν ἂν ἡ πρὸς ἐμέ σου στοργὴ τὴν δέησιν ὑποκειμένην. νῦν δὲ τῶν εὖ ποιῆσαι γενόμενος, δῆλον ὡς θεοκινήτως ἡμᾶς ἀγαπᾷς, ἵνα τι τῶν σῶν καὶ αὐτὸς ὑποκρούσωμαι· ὁρῶ δέ, ὡς τοσοῦτον ἐγένου

μισομητροπολίτης, ὡς μηδὲ ἀσθενοῦντας ἡμᾶς ἐπισκέψασθαι καὶ τὴν κυρια- 5
κὴν ἐντεῦθεν ἀποπληρῶσαι διδασκαλίαν. εἰ μὲν οὖν εἶχον πόδας, τὸ σωματι-
κὸν ἐφόλκιον δυναμένους βαστάζειν, ἔδραμον ἂν πρός σε, ὡς εἰς ὕδατα ἔλαφος.
τρόπον γὰρ τούτου τοῦ ζῴου πρός σε ἡ ψυχή μου ἐπιποθεῖ· κωλύομαι δὲ τού-
40 b *των τῶν στύλων μὴ δυναμένων || ἀνέχειν τὴν οἰκίαν τοῦ σώματος. λόγων δὲ*
πολλῶν λαλουμένων καὶ πραγμάτων μελετωμένων ἐν τῷ κρυπτῷ, τινὲς μὲν 10
τούτων οὐκ ἐξακούονται μέχρι καιροῦ, μετὰ δὲ διακωδωνίζονται· οὐδὲ γάρ
εἰσι λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν· ἕτεροι δὲ ἐκ τοῦ
παραυτὰ διαδίδονται, καὶ ἄλλοι ἄλλων ἐνηχοῦνται ταῖς ἀκοαῖς. εἰ γοῦν οὐκ
ὀκνήσεις εἰς ἡμᾶς περαιώσασθαι, ὀψόμεθά τε ἀλλήλους καὶ φιλικῶς συνεσό-
μεθα· ἑλκόμεθα γὰρ καὶ πρὸς Ναύπακτον· εἴης μοι πολυχρόνιος +. 15

62

40 b *Πρός τὸν Γοριανίτην κῦρ Νικηφόρον +*

Ἔστην ποτὲ παρὰ φάραγγα (παιδίον ἦν αὐτίκα καὶ χρόνον τῆς ἡλικίας
ἐπάτουν τὸν δέκατον), βαθεῖα δὲ ἡ κοιλὰς καὶ ἀμφιλαφὴς καὶ τρόπον ἄλλον
νηὶ ἐῴκει μακρᾷ, ἠρέμα μὲν ἀνοιγομένη τὰ ἄνω, βαθυνομένη δὲ ὑποκατιοῦ-
σα καὶ ὑποβαίνουσα. αἱ δέ γε πλευραὶ οὐκ ὀξεῖαί τινες καὶ κατωφερεῖς, 5
ἀλλ' ὥςπερ ἰδεῖν πλαγιάζουσαι καὶ τῷ πλαγιασμῷ τὴν γείτονα γῆν ὠθοῦσαι
οἷον πρὸς ὑποχώρησιν· τὸ δὲ βαθύτατον τῆς κοιλάδος στενὸν ὡρᾶτό μοι καὶ
ἐπίμηκες, ὁπόσα τρόπις νηὸς ἐκ πρῴρας ἐπὶ πρύμναν διήκουσα· καὶ τὸ στέ-
νωμα τοῦτο ὕδωρ κελαρίζον ὑπέῤῥεεν ὡςανεὶ σφιγγόμενον τῇ στενότητι καὶ
ἦχον ἠχοῦν ὑπὸ τῆς συνοχῆς, ὡς εἴκαζον, καὶ τῆς σφίγξεως. καὶ τοιόνδε μὲν 10
ἐθεᾶτό μοι τὸ κοῖλον ἐκεῖνο μέρος τῆς γῆς, παῖδες δέ μοι ἄλλοι ὁμήλικες
πρὸς τὸ τοῦ χάσματος πέρας τὴν ἐμὴν διαμετροῦντες στάσιν καὶ ἀντιβλέ-
ποντες ἐφώνουν ἐμοὶ καὶ ἀντεφωνοῦντο τὰ βουλητά· καὶ ἡ κοιλὰς τὰς φω-
νὰς δεχομένη ἀντεφώνει ὥςπερ ἡμῖν καὶ οὐ παρέθραυε τὰ λαλούμενα. καὶ
τότε μὲν ὄντι παιδίῳ καὶ ἀμαθεῖ καινὸν μὲν ἐδόκει τὸ ἀκούειν ἐκείνων, 15
ἅπερ αὐτὸς ἐφθεγξάμην, κατὰ τὸ τῆς ἠχοῦς ἀπαράλλακτον. καὶ πλάνον ἐπλα-
νώμην, ἄλογον μέν, φρενὸς δ' ὅμως παιδικῆς οὐκ ἀνάξιον· καὶ συλλογιζό-
μενος τὸ ἀντήχημα εἰς ἀληθὲς οὐδὲν συνεπέραινον· ὑπετόπαζον γὰρ ἄνθρω-
πον ἐγκρύπτεσθαι τῇ κοιλάδι καὶ ἀντιφωνεῖν ἡμῖν καὶ ἀντιφθέγγεσθαι τὰ
αὐτά, ἢ τὴν κοιλάδα ἔμψυχον οὖσαν τῶν φωνητικῶν μὴ στερεῖσθαι καὶ παρὰ 20
τοῦτο ἀντιλαλεῖν ἡμῖν καὶ ἀντιβοᾶν ἀπαράλλακτα. ὡς δὲ παρήμειψα εἰς μει-
ράκιον καὶ τοὺς τῆς σχεδογραφίας κύκλους διέκαμψα καὶ παρήμειψα τὴν ἐγκύ-
κλιον καὶ τὰ τῆς φιλοσοφίας ὄργια ἐμυούμην, ἔγνων τί τὸ τῆς ἠχοῦς ὑστερόφω-
νον· ὡς ἀντήχημά ἐστι πάντως φωνῆς ἐκφωνουμένης τυχὸν κατὰ φάραγγα ἢ
ἄλλην τόπου κοιλότητα. διατί; ὅτι προςπῖπτον τῇ κοιλάδι τὸ φθέγμα καὶ ὑπὸ 25
τῆς στενότητος ἐνειργόμενον ἀνακλᾶται πρὸς τὸν λαλήσαντα. εἰ δέ τις ἐν πε-

62 [7] *ὁρᾶτο* — [9] *τούτω*

διάδι εὐρείᾳ φωνήσει, ἀντήχημα οὐκ ἀκούσεται οὐδ' εἰ κατὰ τὸν ὁμηρικὸν βοήσεται Κύκλωπα, ᾧ τοσοῦτον ἦν τὸ ἤχημα τῆς φωνῆς, ὅσον ἐννεάχιλοι, φησί, βοήσονται ἢ δεκάχιλοι. καὶ τοῦτο σοφόν. ἡ γὰρ φωνὴ πεμπομένη ἐν πεδιάδι,
30 *ἐπεὶ οὐδέν ἐστι τὸ συνέχον αὐτὴν καὶ στενοῦν, ὑπὸ τοῦ πλάτους σκεδάζεται, καὶ ἡ συνθήκη διαλυομένη τοῦ φθέγματος οὐκ ἀντιπέμπεται τῷ βοήσαντι. ἀλλ' οὕτω μὲν αἱ κοιλάδες ἀντιφωνοῦσι καὶ ἀντιλαλοῦσιν αἱ φάραγγες· σὺ δέ μοι ὁ καλὸς τὰ πάντα καὶ ἀγαθὸς καὶ δυνατὸς ἐν θεῷ γνῶναι σοφίαν καὶ παιδείαν νοῆσαί τε λόγους φρονήσεως δέξασθαί τε στροφὰς λόγων καὶ λύσεις αἰνιγμά-*
35 *των πῶς οὐδέποτέ μοι πρὸς τὰ γραφόμενα κατὰ τὸ ἀπαράλλακτον ἀντελάλησας; ἀλλὰ τὸ τῆς παροιμίας ἅμας ζητοῦντος ἐμοῦ, σκάφας αὐτὸς ἀπαρνῇ. καὶ τρεῖς κακίας ἴσθι ἐπιστολῶν, τὴν τοῦ μέτρου ὑπερβολήν, τὴν ἀσάφειαν καὶ τὸ μὴ ἀντιγράφειν πρὸς τὰ γραφόμενα· γενοῦ γοῦν ὥςπερ ἦς τῇ δυνάμει ῥήτωρ, οὕτω δὴ καὶ τῷ θέλειν καὶ μὴ τῷ μὴ θέλειν κρύπτε τὸ δύναθαι καὶ*
40 *μιμοῦ τὰς κοιλάδας καὶ ἀντιλάλει καὶ ἀντιφθέγγου μοι λαλοῦντι καὶ νῦν, ὡς ἀτιμούμεθα πολυτρόπως. ἡ τοῦ πνεύματος ἐξουσία παρῄρηται, ἡγουμένων ὑμεῖς προβληταί, δοτῆρες ἐπισκοπῶν, ἱερωμένων κριταί, δικῶν κανονικῶν κωλυταί, τὸ δὲ πλέον καὶ ζημιωταὶ*

[Die Fortsetzung fehlt.]

63

[Ohne Eingang.]

[ἱμ]άτιον ἐξανάγκης δὲ εἰς τὰ τοιαῦτα ἔρχομαι συλλογίζεσθαι καὶ ἀξιῶ σε ἀποκριθῆναί μοι καὶ τὴν αἰτίαν καὶ τὴν θεραπείαν τοῦ πάθους· καὶ θύσω σοι χάριτας· εἰ δ' ἀπαλλαγείην, καὶ λύτρα· οὐδὲ γὰρ πιστεύω ποτὲ καὶ μισθοὺς αἰτεῖν σε τῶν ἀποκρίσεων. ἡ χάρις τοῦ θεοῦ καὶ πρὸς ἑαυτὴν ἑλ-
5 *κύσαι σε πλέον, καὶ δώῃ σοι δύναμιν τῆς κλήσεως, ἧς ἐκλήθης, ἀξίως πορεύεσθαι.*

64

Πρὸς τὸν λογαριαστὴν τὸν Κωστομοίρην +

Ἔστι ταῖς ἀληθείαις ἀκανόνιστος ἡ παρὰ τῶν μητροπολιτῶν ἀντίληψις τῶν ἐπισκοπῶν· τὸ δὲ ταύτας λεηλατεῖσθαι καὶ ἀφανίζεσθαι καὶ ἔννομον καὶ κανονικόν, καὶ διὰ τοῦτο μεμφόμεθα ὡς σὺ τῷ κέρδει καὶ τῇ ἀδικίᾳ νικώμενος
5 *καὶ νοεῖς καὶ γράφεις· ποίαν δέ μοι κατονειδίζῃς κατέπειξιν, δέον ὂν στραφῆναι πρὸς ἑαυτὸν καὶ συνιέναι μήπως αὐτὸς εἶ ὁ ἐπείγων ὅσα ἐπείγεις; καυχήσομαί τι μικρόν· ἤθελον καὶ σὲ τῆς ἐμῆς γενέσθαι καὶ γνώμης καὶ προαιρέσεως, ὅσον τέως ἐπὶ τοῖς ἀνακειμένοις θεῷ. δοκεῖς, ὡς οὐ δώσεις λόγους ἱερωμένος ὢν καὶ τῶν ἐκλεκτῶν καὶ γνώσεως μέτοχος, καὶ διὰ τοῦτο*
10 *πλέον παρ' ὅσον πλέον γινώσκεις. ἐγὼ τέως ὑπεραλγῶ σου, ὅτι διὰ μικρὸν*

62 [36] *ἅμασ* 63 [1] *[ἱμ]άτι(ον)* sehr unsicher 64 [3] *ἐπισκόπ(ων)*

ἀργύριον, ὡς ὁ τῆς κωμῳδίας Ἑρμῆς, καὶ θυμάτων κοιλίας πλύνειν ἀνέχῃ. τοιαῦτα γὰρ τὰ παρὰ σοῦ σπουδαζόμενα εὐτελῆ· ὡς πρὸς τὴν σὴν καὶ γνῶσιν καὶ γνωριμώτατον προσθείην τὸ καιριώτερον καὶ τὸ ἱερὸν ἀξίωμα, ὅπερ ἐπέμφθη σοι. οὕτως ἡμεῖς περὶ σοῦ φρονοῦμεν, τὰ δὲ κρυπτὰ ἢ τῶν ἀκουσμάτων ἢ θεαμάτων σὺ ἂν μόνος εἰδείης, ὁ τῶν τοιούτων πάντως ἐπάξιος, 15 *καὶ γνόφον ὑπελθὼν τῶν κοσμικῶν μυστηρίων καὶ τῶν ἀδύτων τῆς ἐξουσίας, ἡμεῖς δὲ παρὰ πόδας ἐστηξόμεθα τῆς ἀκρωρείας τῆς σῆς ὑψηλότητος καὶ ἀκουσόμεθά ποτε, ὡς ἐδήλωσας, τῶν ἀξίων ἀπηχημάτων τῇ ἡμετέρᾳ ἐλαχιστότητι, ὦ καλὲ Κωστομοίρη. ἐγὼ δὲ πῶς οὐδὲν παρὰ σοῦ τῷ κυρίῳ ἔγραψα ἢ ὅλως ὑπέγρυξα, σὺ δὲ καὶ ἐσχετλίασας καὶ τλήμονα τὴν νῦν γενεὰν* 20 *ἀπεκάλεσας, ὅτι βλέπεις μητροπολίτας βασιλεῦσιν ἀνταίροντας; τίνα ταῦτα; ψυχῆς ἀδόλου καὶ φίλης ἢ μοχθηρᾶς καὶ κακεντρεχοῦς; καὶ οὔπω ἔστης, ἀλλὰ τὸν θυμὸν ἐκχέεις ἐξ ὧν γράφεις καὶ πρὸς τὸν μηδὲν ἀδικήσαντά σε Νεόφυτον. αὐτὸς δὲ ἅπαξ ἡμᾶς ἐπισκεψάμενος ὡς νοσοῦντας καὶ συνταξάμενος ἀνεχώρησε. γενοῦ τοῦ μετρίου· πάντων γὰρ μέτρον ἄριστον, ὑπερβασίαι* 25 *δ' ἀλγειναί· ἀκούεις μεθ' ἡμῶν τῆς ποιήσεως· ἔδει δέ σε ἢ ὡς συμπολίτην αἰδεῖσθαί με ἢ ὡς ἐπίσκοπον εὐλα[βεῖσθαι]*

[Die Fortsetzung fehlt.]

65

Bl. 44a *Πρὸς τὸν Βοθρωτοῦ κῦρ Δημήτριον + τοῦ Ναυπάκτου.*

Ἀφίκοντό μοι τὰ παρὰ σοῦ, εὗρον δέ με ἐν Ἄρτῃ καὶ παρὰ τῷ προνάῳ τῆς ἐν ταύτῃ μονῆς τοῦ παμμάκαρος ἁγίου Νικολάου μεσημβριάζοντα. εἰς τοῦτο ..... ὥρας ἡ τῶν παρὰ σοῦ πρὸς ἡμᾶς ἐμφάνεια γέγονεν. ἀλλ' οὐδ' ἂν ἐνταῦθα κατέλυσεν ὁ βραχὺς τὰ πάντα Ναυπάκτου καὶ οὐδενόσωρος, εἴγε καὶ τοῦτο 5 *οἰκοδομαῖς ἐλαμπρύνετο τὸ μονίδιον καὶ ταῖς προσόδοις ἐμεγαλύνετο· τὰ γὰρ τοιαῦτα ἀθεώρητα τῷ Ναυπάκτου καὶ ἀνεπίβατα· καὶ ὑπὸ χεῖρα μόνην τὴν πατρικήν, τὸ δὲ τῆς πατρότητος ὄνομα καὶ πρὸ πολλοῦ μετέπεσεν ἐξ ἡμῶν καὶ πρὸς τοὺς κοσμικοὺς πατέρας μετακεχώρηκεν .... κατάντημα τὸ βραχὺ τῷ τοιούτῳ, τὸ κοινὸν ὡς εἴποι τις καταπάτημα, τῇ* 10 *κοσμικῇ περιφρονήσει ἐμ........ δέν. καὶ τρισημερεύσας ἐν τούτῳ θέατρον ἐγενόμην, εἰ μὲν καὶ ἀγγέλοις οὐκ ἔχω λέγειν, ἀνθρώποις δὲ ὑπέρ-* Bl. 44b *μαλα· || αὐτίκα δὲ καὶ βαλανεῖ ἀπελύθην καὶ λούματος [μετέλαβον] ἔτεμον γὰρ πρὸ ταύτης διὰ τὸν κατάρρουν τὴν φλέβα καὶ τῷ μὲν λουτρῷ προσεχώρησα, μαλάξαι θέλων ἐν τούτῳ τὴν ἐκ τοῦ κατάρρου ὑποληφθεῖσαν ἔτι* 15 *σκληρότητα. τάχα δὲ καὶ φῶδας ἐκ βαλανείου τούτου οὐ τῷ σώματί μου ἀνέθηκα, τῇ δὲ ψυχῇ κατεσκίρρωσα, ὅτι περιεκτύπησέ μου τὰς ἀκοάς, κατὰ*

65 [7] *ναυπάκτω* — [9] Eine unbeschriebene Stelle für ungefähr 16 Buchstaben — [11] Eine unbeschriebene Stelle für ungefähr 8 Buchstaben — [16] *φώδας*

κέλευσιν τοῦ κρατοῦντος, λῄζεσθαι τὰ ἡμέτερα καὶ φορολογεῖσθαι τὰ τοῖς ὑποτελέσιν ἀδύνατα· τῆς ἀληθείας ταῦτα ἀντίποινα καὶ ἀντίδωρα τῶν κακω-
20 τικῶν φυλακῶν, ἀλλὰ ταῦτα ὑποίσομεν. ἴστω δὲ ὁ πάντα εἰδώς, ὡς οὐκ ἀπάρτι κυνίδιον ἔσομαι, τυπτόμενος πρὸς τῆς ἐξουσίας πρὸς τὴν τῶν λεόντων ἐκφόβησιν, ἴσως τῶν ὑπὲρ ἐμὲ καὶ ὡς ἐγὼ καὶ μεγάλων. τί δὲ δεῖ καὶ τοὺς μικροτέρους ἐκδειματοῦν, ἀρκούσης αὐτοῖς εἰς συστολὴν τῆς μικρότητος; ἀλλ' ὡς διαχυθήσομαι μετὰ σοῦ καὶ θλίψεως ἐν μέσῳ ἀγαλλιάσομαι,
25 ἐγχέλυος δίκην τῆς περὶ τὸν καλὸν Βονδίτζης ὠλίσθησας ἐνοχῆς καὶ ἀπέρριψας καὶ τοῦτον πρὸς τὸν χρίστην ἐμέ, ὡς τὰ τῶν πλοίων ἀνερμάτιστα πρὸς τὸν Ξυλοφάγον· καὶ τὸ γράμμα τῆς ἀπολογίας ἐδεξάμην ὡς εὐφυῶς συντεθέν, ὡς εὐπροφάσιστον τὴν ἄρνησιν ποιησάμενον· ἤδη δέ, καὶ τρόπους ὑποθημοσύνους πλέκειν ἐμοί, ὡς οἰκονομηθῆναι πρέπει τὰ κατὰ τὸν ἐπίσκοπον. καὶ ὁ
30 ἐξαγαγὼν αὐτὸν κύριος ἐκ τῆς γῆς αὐτοῦ, ἐκ τῆς συγγενείας αὐτοῦ καὶ ἐκ τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ καὶ ὅσον ὅσον γῆν ἑτέραν δεικνύων αὐτῷ καὶ τὸ τῆς ἐξόδου ἀνάγνωσμα ἀναγνῶναι τοῦτον οἰκονομήσει καλῶς· εἰ μὲν καὶ δι' ἡμῶν, πλείων ἡ χάρις, εἰ δ' ἑτέρων, καὶ τοῦτο πλέον ἔσται ἡμῖν, ὡς τὸν τοῖς πᾶσιν ἀγνῶτα ἐνοχῆς ἐλευθερούντων βαρείας. ἡ δ' ἐκ τοῦ κλίτους σου πε-
35 σοῦσα χιλιὰς τῶν χαρτίων ἤγγισε πρὸς ἡμᾶς καὶ τὸ πλῆθος τῆς ἀποστολῆς εἰς καιρόν, ὡς ἔχομεν ἀρκούντως τὰ δακνηρὰ καταγράφεσθαι· ἔγκαιρον δέ σου τὸ κηρίον· λαμπρυνοῦμεν γὰρ καὶ νύκτα ταῖς αὐγαῖς τοῦ πυρὸς ὡς μὴ τῆς ἡμέρας ἀρκούσης πρὸς τὴν ἀπόκλαυσιν τῶν λυπούντων. μήποτε δὲ καὶ προφητικῶς διὰ ταῦτα ἐμέλησέ σοι ταυτί· ἔγωγε οἶμαι, ἀλλ' οὐκ ἤθελον
40 τὸν ἐμὸν Βοθρωτοῦ ἐν τοιούτοις εἶναί σε βλέποντα, ἐν δὲ τοῖς ἐναντίοις καὶ προφήτην καὶ στοχαστήν· ἡμεῖς δὲ ὅμως ἀναφωνοῦμεν πρὸς ἑαυτούς, τέτλαθι κραδίη καὶ κύντερον ἄλλοτ' ἔτλης, καὶ προσχωροῦμεν ἰδοὺ τοῖς ἀνιαροῖς καὶ συντασσόμεθά σοι τὰ ἐξιτήρια, ἀλεξητήρια δὲ τῶν κυκλωσάντων ἡμᾶς λυπηρῶν. τὰς σὰς ὁσίας εὐχὰς μὴ κατόκνει χαρίζεσθαι· οἱ ὑποψήφιοι
45 βαθύνουσί σοι προσκύνησιν.

66

Τῷ ἁγιωτάτῳ ἀγαπητῷ δεσπότῃ μου τῷ Ἰωαννίνων + Bl. 44 b
ὁ ἁμαρτωλὸς Ἰωαννίκιος +

Τὰς εὐγνωμονούσας περὶ τοὺς εὐεργέτας ψυχὰς ὁ καιρὸς τῆς χρείας ἐλέγχει· καὶ σὺ εὐγνωμονῶν εἰς ἡμᾶς, τοὺς χρῄζοντάς σου ἐν τῷ παρόντι, τὸ εὔγνωμον
5 καὶ δυναμικὸν ἐπίδειξον καὶ ταχύ. ἤκουσας πάντως ὡς ὁ Ναυπάκτου ἀπεβίω. τί γοῦν χρὴ πράττειν ἡμᾶς; καθεύδειν, ἢ περὶ τὴν ζήτησιν τῆς ἐμῆς ἐκκλησίας ἐγρηγορέναι; εἰ γοῦν εἴπῃς τὸ δεύτερον, δὸς καὶ βουλὴν ἐπαινετὴν καὶ σπουδὴν ταχινήν, γράφων ὑπὲρ ἡμῶν βασιλεῖ καὶ τοῖς παρ' αὐτοῦ δυνατοῖς. εἰ δ' ἀποφήσεις τοῦ ἐπισκόπου τὴν ζήτησιν, ἐγὼ μὲν ἡσυχάσω, σὲ δὲ ὁ καιρὸς ἐλέγξει
10 τῆς ἀφ' ἡμῶν εὐεργεσίας ἀμνήμονα· χαρίζου μοι καὶ ὑγιὴς καὶ μακρόβιος +

65 19–20 κακοτ(ικῶν) — 43 ἐξητήρια

67

[An den Metropoliten von Thessalonike].

Bl. 47a . . . .

ἀ]φετηρίας ἐξώρμησε πρὸς τὸν Κάρμηλον· καὶ τί δεῖ τὸν ἕνα τοῦ σινήπεως κόκκον καὶ τὴν τῆς κέγχρου σμικρότητα πλατείαις ἐντιθέναι ταῖς ἀποθήκαις, ἐνὸν ὂν καὶ ἐρεβίνθου λεπύρῳ τὰ δύο ταῦτα ἐγκλείσασθαι; ὡς δὲ πρὸς τὸ προκείμενον ἐπαναδραμεῖν, σὺ μὲν ἔχε τὰ σὰ πλάτη καὶ ταῖς πολυξύλοις καὶ ταῖς πολυπλίνθοις οἰκίαις ἐπίχαιρε, ἀθύροις δὲ ὅμως καὶ τεταπεινωμέναις τὴν δόκωσιν· καί, ὡς τὸ πᾶν εἰπεῖν τοῦ Σιράχ, ἐν ἀργίᾳ χειρὸς σταζούσαις ἐπὶ τὸ ἔδαφος. οὐκ ἐπαινέσομεν λίθον, ὅτι βαρύς, ὅτι πυκνὸς καὶ ὅτι δυσβάστακτος. ἐπαινέσομαι μάρμαρον, οὐχ ὅτι μικρός, ἀλλ' ὅτι στρογγύλος, ἀλλ' ὅτι διάλευκος, ἀλλ' ὅτι κατὰ τὸ τοῦ σφαιρώματος κέντρον τὴν ὀπὴν οὐκ ἔχει παράλοξον. καὶ τὸ ἐπισκοπεῖον δὲ τὸ ἐμὸν οὐ καταμάρμαρον ὅλον, οὐ λευκὸν ἢ γάλα, εἴποι τις τοῦτο μὴ σκώπτης ἀνήρ, συνεπτυγμένον παλάτιον. καί σοι μὲν κατὰ τὰ μέτρα τὰ περσικά, παρασάνας ταῦτα ὁ τεχνογράφος Ἑρμογένης ὠνόμασε, τὸ ἐπισκοπικὸν ἀπῴκισται τέμενος, ὡς ἂν μὴ καταδεχόμενον ἔχειν ἐγγὺς τὸν ἐπίσκοπον μηδὲ τῷ ἱερωσύνης σηκῷ τὸ τοιοῦτον πρόβατον ἐνσηκάζεσθαι, ὡς καὶ τὸν ἐκεῖσε προσμένοντα, ὀρθρίζοντά τε καὶ ἀναφωνοῦντά σοι τὸ εὐλόγησον, ἢ μηδόλως ἀκούεσθαι, ἢ δοκεῖν ὡς ἐξ Ἅδου. ὁ δέ γε ἐμὸς τοῦ ὄρθρου σημαντὴρ θυραῖος ἱστάμενος καὶ παρὰ μαρμαρίνῳ ὑπαίθρῳ οὐκ ἀνάγει τὴν φωνὴν ἐκ τῶν σπλάγχνων, οὐδὲ τῇ ἐξηχήσει στενοχωρεῖται τοῦ πνεύματος, ὡς καὶ δοκεῖν πεφυσημένος εἶναι ἀσκὸς καὶ συμπατούμενον ὄργανον καὶ ἀπὸ βύρσης βοείας ἐπὶ τοὺς αὐλοὺς ἀνάγων τὸ πνεῦμα τοὺς τὴν ἠχὴν ἀποθλίβοντας, ἀλλ' ἡμέρως πως καὶ μεμετρημένῃ φωνῇ εὐλογεῖν προτρέπεται τὸν ἐπίσκοπον· ὁ δ' εὐθὺς ἤκουσεν, ὁ δ' εὐθὺς ἐπευλόγησεν. ὅσον οὖν τὸ ἐγγὺς τοῦ πόῤῥω διαφορώτερον, τόσον ἀλλήλων ὁ ἐμὸς τοῦ σοῦ σημαντῆρος διέστηκε. παρήμειψα δὲ τὸν τῆς κέλλης οὐδὸν καὶ τὸν τοῦ ἐκκλησιαστηρίου πεπάτηκα, καὶ οὐκ ἀναβέβηκα κλίμακας, οὐ διώδευσα περιπάτους, οὐ γέγονα κάθιδρος ἐκ τοῦ κόπου, οὐκ ἀσθμαίνων τῷ περιπάτῳ, ἀλλὰ συνειλεγμένῳ τῷ πνεύματι καὶ τῆς κέλλης ἐξῆλθον καὶ τὸ ἱερὸν ἐπάτησα δάπεδον· καί ποτε παρὰ τῷ τοῦ ὕπνου κραββάτῳ καθήμενος οὐ παρήκουσα τῶν ψαλλόντων, ὃ πάσχειν οἶδας τοὺς ἐνωτιζομένους ἐκ διαστήματος, ἀλλ' ὡς τοῖς ψάλταις συνόντος μου καὶ τὸ ὠτίον οὐ παρακούει καὶ ἡ γλῶσσα οὐ παραψάλλει. μὴ κακίζεις καὶ τοὺς τῶν ἡμετέρων καταλυμάτων μαρμαρίνους ἀναβαθμοὺς καὶ τὰ μαρμαρόστρωτα ὕπαιθρα, διὰ τὴν ὑψηλότοπον ἵδρυσιν τὴν ὄψιν τῶν ὁρώντων πρὸς τὴν ὑποκειμένην θάλασσαν ἀκοντίζοντα καὶ τοῖς τῶν φυτῶν εὐώδεσι σκιαζόμενα, καὶ τὸν ἐν κύκλῳ τοῦτον φραγμόν, τοῦ ἐδάφους μὲν ἀνατρέχοντα, ἐκ κιονίσκων δὲ ποικιλλομένων μαρμαρίνων ἐπὶ τὰς κεφαλὰς ἀνεχόντων ἑτέρας ἐγκαρσίας εὐθείας, ἐξ ὁμοίας τῆς ὕλης, αἷς ἐπιστηθίζουσιν ἑαυτοὺς οἱ περὶ τὸ τῆς αὐλῆς προκύπτοντες ἔδαφος; ταῦτα τὰ

67 [10] καταμάρμαρον — ἢ — [11] σκόπτης — [25] κλήμακ(ας) — [26–27] συνηλεγμένω

τῶν ἐλαχίστων ἡμῶν, τῶν σμικροπολιτῶν, τῶν ἐρημοπολιτῶν, ἵνα τι καὶ
τῶν σῶν φίλων εἴπω. μὴ καὶ τοὺς ἰχθύας ἡμῶν, μὴ καὶ τὰ κίτρα ἡμῶν οὐκ
40 ἐπαινέσεις εἰς ἐπαρκές; ὅτι τῶν μὲν ἔστιν ἃ κάδδοις ἁμιλλῶνται πρὸς μέ-
γεθος καὶ ὡς ὡραῖα μὲν ἰδεῖν, καλὰ δὲ φαγεῖν καὶ τὴν ὀσφραντικὴν θηλῦναι
διὰ τὴν εὔπνοιαν; οἱ δὲ διαφορογενεῖς μέν, εὔβρωτοι δέ, καθαροὶ δέ, πῖοι δὲ
καὶ γένος παντοδαπὸν καὶ φυλαί, ὡς εἴποι τις, μυριόχρωμοι; τὸ δὲ λου-
τρὸν ἡμῶν οὐ μετάρσιον; οὐ τὴν ὄψιν ἕλκει τοῦ βλέποντος; οὐ γραφικοῖς
45 ποικίλλεται χρώμασιν; οὐ φωταγωγοῖς ὑέλοις καταπεφώτισται; οὐχ ἡδονὴν
τῷ λουομένῳ ἐντίθησιν; οὐ καταμάρμαρον ὅλον; οὐ δεξαμεναὶ διάλευκοι
παρ' αὐτῷ; τὸ φρούριον δὲ ἡμῶν οὐ δυσανάλωτον ἢ μικροῦ καὶ ἀνάλωτον; οὐκ
ἐπὶ μετεώρου τοῦ ἀέρος ἐπῳκοδόμηται; οὐ τῇ τοῦ κωμικοῦ Νεφελοκοκκυγίᾳ
παραμιλλᾶται; πόλις αὕτη παρ' ἐκείνῳ μὴ ψαύουσα γῆς, ἐν δὲ τῷ μανῷ
50 ἀέρι || καὶ τῷ μικροῦ μὴ ἀναπνευστῷ διῃρμένα ἔχουσα τείχη καὶ τὸν περί- Bl.
βολον ἐναέριον. ἡ δὲ πᾶσα πόλις ἡμῶν οὐχὶ ἄπηλος; καὶ μὴν πολλῶν ἀκούω
μακαριζόντων τοὺς ἡμετέρους πολίτας, ὅτι μηδὲ τὰ περὶ τοὺς πόδας τού-
των καττύματα ἐν χειμῶνι, ἐν ὄμβρῳ, καταμολύνονται τῷ πηλῷ, οὐδ' ἰλυ-
σπῶνται βορβόροις, ὡς τὰ τῶν ζώων φιλόπηλα, οὐδὲ τῆς τετριμμένης διὰ τὸ
55 ἐκ τοῦ πηλοῦ πλαδαρὸν ἐκ τοῦ παραβαδίζειν ἀπομηκίζονται, οὐδὲ ξυλίνας
ἐμβάδας, ὡς ποδοκάκην, ἕκαστος ὑποδέεται, καθηλωμένας, καὶ ταῦτα, ὡς
μὴ τὸ περὶ τὴν γῆν μέρος τῶν ὑποδημάτων τούτων ἐκτρίβοιτο, οὐδ' ἀλλη-
λόκτυπον πάταγον ἐξηχοῦσι περὶ τὸ ἔδαφος τοῦ ναοῦ, οὐδὲ μολύνουσιν ὁπως-
οῦν πατοῦντες αὐτό, κἂν οἱ καταῤῥάκται αὖθις τοῦ οὐρανοῦ τῇ ἐμῇ Ναυ-
60 πάκτῳ ἐπανοιχθῶσιν. ὅσαι τοῦ ἡμετέρου περιβόλου ἐντός, ὅσαι τούτου ἐκτὸς
καὶ ὅσαι ἄλλῃ ἐπ' ἄλλῃ προῤῥέουσιν ἀργυρίζουσαι οὐδ' αὐταί σου τὴν γλῶσ-
σαν πρὸς ὕμνησιν ἐκκαλέσονται; ἐξ ὧν ἡμεῖς πίνομεν ἄφθονον ὕδωρ, τὸ πο-
τὸν καθαρὸν καὶ χερσὶν αὐτῶν ἀπαντλοῦμεν καὶ τούτων ἀποῤῥοφῶμεν, πα-
λάμας κοιλαίνοντες, ἀλλ' οὐκ ἐκ φρεατίων ὑδάτων οὐδὲ φρεωρυχοῦμεν, ὡς
65 οἱ ἀσπάλακες, καὶ χειρόκμητον ὕδωρ καὶ κατορωρυγμένον ἀφύσσομεν, οὐδὲ
ποσὶ περὶ τὸ στόμα τοῦ φρέατος ἀντιβαίνομεν καὶ δακτυλοκοπούμεθα σχοί-
νῳ διὰ τὴν ἐκ ταύτης τραχύτητα. δυστυχήματα ταῦτα, οὐκ εὐτυχήματα πό-
λεως, παρ' ᾗ καὶ γέρων ἴσως ἀπολεῖται τῇ δίψῃ, αὐτὸς μὲν παρειμένας
ἔχων τὰς χεῖρας καὶ μὴ δυναμένας ἀντλεῖν, ἑτέρου δὲ μὴ εὐτυχῶν τοῦ ἀν-
70 τλήσοντος· αἱ δὲ παρ' ἡμῖν καὶ γραῖαι καὶ γέροντες, ὡς οἱ νέοι, πρόχειρον ἀν-
τλοῦσιν ὕδωρ, πίνουσιν ὡς θέλουσιν εἰς ὅλον χρόνον· οὐ κάδδος αὐτοῖς ἐξε-
χύθη πολλάκις εἰς δευτέραν ἄντλησιν ἠναγκασμένοις, ἡ σχοῖνος οὐκ ἔτριψεν
αὐτῶν παλάμας, ἅλυσις οὐκ ἔθλιψεν αὐτῶν δακτύλους, σκληρὸν παρακρέμα-
σμα πρὸς τῷ σχοινίῳ ἐξ ὑγρότητος μὴ σαπῇ τὸ σπαρτίον. ὁ μὲν οὖν μῦθος
75 αὐτονομῶν τὸν τοῦ Πηγάσου ταρσὸν πατάξαι λέγει τὴν γῆν καὶ πηγὴν εὐθὺς
ἀναρροιβδῆσαι τῷ παταγμῷ καὶ Ταρσὸν ὀνομασθῆναι τὸν τόπον· Κιλίκων πό-
λις αὕτη περιφανὴς καὶ τοῦ Ταρσέως Παύλου πατρίς. τὴν Ναύπακτον δὲ οὐχ

67 [42] εὔρωτοι — [48] νεφελοκοκυγία — [53] παττύματα — καταμολύνοντι — [56] ὑποδέχε-
ται — καθηλωμένοις

εἷς, ὡς ἔοικε, Πήγασος, δυσάριθμοι δὲ πατάξαντες ἐν αὐτῇ πολλῶν πηγῶν ἀνάδοσιν ἐποιήσαντο· καὶ ἔστι ταύτης τὰ ἔσωθεν καὶ τὰ ἔξωθεν καὶ ὕδασι καταντλούμενα· καὶ εἰ διὰ τὰς δυοκαίδεκα πηγὰς ἀνάγραπτος ἡ Ἐλήμ, ἀναγραπτέα μᾶλλον ἡ Ναύπακτος διὰ τὴν τούτων δαψίλειαν. καὶ ὀκνήσειεν τάχα ὑδατομέτρης ἀριθμῷ παραδοῦναι τὰς ἐν Ναυπάκτῳ πηγάς, ἐξ ὧν ἔπιες, ἐξ ὧν ἐλούσω, ἐν αἷς τὸ σὸν τριβώνιον ἀπεῤῥύπωσας, ὦ δυσάρεστε σὺ καὶ τὰς ἀλλοτρίας περιφρονῶν ἀγαθότητας. καὶ εἰ μή μου τὴν γλῶτταν ἡ ἐκ τῶν νοσημάτων κατενεπέδωσε νάρκωσις, τάχ᾽ ἂν τοὺς σοὺς ψόγους εἰς ἐπαίνων ἐθέμην αὐτὸς ἀφορμήν· νῦν δὲ σὴν χάριν, σιωπῶ τὰ πολλά, καὶ τὴν ἐμὴν σιωπὴν ἐπιλύπων μηνυμάτων ἑτέρων παραλιμπάνω λαβήν. ὁ Δημήτριος ἀπεκόμισέ μοι τὴν ἀργυρέαν σφραγῖδα· οὐκ ἐγλύφη δὲ καλῶς ἡ ἡμετέρα πανύμνητος· ὁρᾷς; κατανωτίζεταί μου τὰ γράμματα καὶ τὸ πρόσωπον αὐτῆς ἀποστρέφει τοῦ μὴ βλέπειν ἐπὶ τοὺς τῶν πιττακίων μου τίτλους· δέον ὂν ἐπιστροφὴν πρὸς τὰ γραφόμενα ἔχειν, ἐκ τῆς ἐναντίας διαγλυφῆς τε καὶ ἐπινεύσεως. θεοῦ δὲ διδόντος καὶ τῆς εὐχῆς τῆς μεγάλης ἁγιωσύνης σου στηρίξω μετὰ τὸ Πάσχα τὸ πρόσωπόν μου πρὸς τὴν σὴν Θετταλὴν καὶ πρὸς τὴν λάμψιν τοῦ σοῦ προσώπου πορεύσομαι· ἡ δύναμις τοῦ Χριστοῦ χαρίσαιτο ταῖς ἐκκλησίαις αὐτοῦ τὸν ἐμὸν Θεσσαλονίκης πολυχρονοῦντα. ὑπ᾽ ἐμὲ δοῦλοί σου, ὧν ἐξάρχουσιν ὁ Ἀνδρέας καὶ ὁ Κουκῆς, τὰ βραχύτατα ταῦτα καὶ οὐτιδανὰ ἀνθρωπάρια, καταπροσκυνοῦσι τὴν μεγάλην ἁγιωσύνην σου ἐπιδεόμενοι τῶν εὐχῶν σου καὶ τῆς μνημοσύνης τῆς ἀντιλήψεως· τὸν ὑπερωμίαν Νικηφόρον, τὸν τῆς ἡσυχίας Νικόλαον, τὸν τῆς μέθης προστάτην Πέτρον, τὸν γυναικοκράτην Μανουήλ, τοὺς ἱπποφορβοὺς Ἰωάννας ἡ ἡμετέρα ταπεινότης ἀσπάζεται. πῶς δ᾽ ἂν εἴποις || τοὺς σοὺς ἐντίμους προςφθέγξομαι κληρικούς, οἳ μήπω θεασάμενοι τὸν Ναυπάκτου ἔνστοργον πρὸς αὐτὸν ἐσχήκασιν εὔνοιαν, ἐγγενομένην ἐξ ἀκοῆς, εἴ τι πειστέον τῷ Σταγειρόθεν σοφῷ, ἐν οἷς περὶ φιλίας καὶ εὐνοίας φιλοσοφεῖ, ὅτι φιλία μὲν ἐξ ἐμπροσώπου τῆς ὁμιλίας ἐμφυτεύεται ταῖς ψυχαῖς, ἐξ ἀκοῆς δὲ μόνης ἡ εὔνοια. συγκατασπάζομαι καὶ τὸν διὰ καθαρότητα σώματος Ναζιραῖον, τοῦ μυροφόρου τάφου ἐπιμελόμενον. ἀλλ᾽ οὐκ οἶδα πῶς ἀπεῤῥευξάμην ταυτὶ καὶ μεγάλῳ πένθει τὴν γλῶτταν καὶ τὴν χεῖρα κεκίνηκα. ἀπέθανε γὰρ ὁ Κότας μου, ὃν εἰς παράκλησιν εἶχον, ὃν ὁμοτράπεζον, οὗ τὸν ἐν τῇ γλώττῃ δεσμὸν ἀηδόνος ἐποιούμην στωμύλματα, τὴν στρέβλωσιν τῶν χειρῶν ὡς ἐπιδεξιότητα παρενόμιζον· εἰ δὲ καὶ τοὺς πόδας εἶχε βλαισούς, ἀλλ᾽ ὀρθοπόρον ἐγὼ ὑπελάμβανον. πάντα τὰ παρὰ τῷ Κότᾳ ἐκείνῳ τῆς φύσεως ἀποτεύγματα Νηρέως ὡραιότης ἐμοὶ παρεφαίνετο. τίνα τῶν ἐκείνου καλῶν ἀρκούντως ἐκτραγῳδήσω; ποῖον δὲ παραλείψω; ποῖον δώσω τῷ λόγῳ τῶν ἐκείνου καλῶν; τοὺς μεγαλυνομένους ἐπ᾽ ἐμὲ πτερνισμοὺς ἢ τὰ κατακοντιζόμενά μου χερμάδια, ἡνίκα πρὸς αὐτὸν παρεφθεγξάμην ἢ παρελάλησα; εἰ παρώξυνά τι ἐκεῖνον βραχύ, κατὰ τοῦ υἱοῦ τῆς μητρός μου ἐτίθει μοι σκάνδαλον, ἐκείνην

(Margin: 80, 85, 90, 95, 100, Bl. 48 a, 105, 110, 115)

67 [103] *πιστέον* — [109] *εἶχ᾽· δν* — [111] *βλεσσοὺς* — [112] *Νιρέως*

ὑβρίζων, ἐμὲ λοιδορούμενος. εἰ προσήγγισέ μου τῷ στόματι, κατεδεχόμην γὰρ ἀπὸ καρδίας, ὡς οἶσθα, τὰ ἐκείνου φιλήματα, καὶ μύξαις καὶ σιέλῳ
120 κατέχριέ μου τὸ πρόσωπον. πῶς ἀπενθήτως ζήσω τῶν ἐκείνου μεμνημένος παραφορῶν, τῶν παραλαλημάτων, τῶν παραπτώσεων; πότε σε, Κότα, ἔποχος γενόμενος ἵππῳ, ἐξ ὀπίσω μου τῇ ἡμιόνῳ καθίσω καὶ παραπαίζων ἐπιχειρήσω ῥίπτειν σε καὶ σὺ χερσὶ ταῖς σαῖς περιζώσῃς με, ὡς ἂν συῤῥίψῃς ῥιπτούμενος; θνήσκων δὲ ποῖόν μοι κατέλιπες ἀντιπαραμύθιον; ἐκπνέων δέ,
125 πῶς καὶ τὸ ἐμὸν οὐ συνεφείλκυσας πνεῦμα; ἐξοδευομένου σου δέ, πῶς με ζῶον ἐπεῖδεν ὁ ἥλιος; θαπτόμενος δέ, πῶς οὐ συγκατέχωσας τάφῳ; εἴ τις αἴσθησις καὶ νεκροῖς, μέμνησο, Κότα, τῶν πρὸς ἐμὲ συνθηκῶν καί, ὡς ὑπέσχου, εἰσάγαγέ με πρὸς τὸν παράδεισον, εἰς ὃν αὐτὸς δι' ἀκακίαν ἐσκήνωσας· ἐγὼ δέ σου μεμνήσομαι καί σου τῷ τάφῳ οἶνον μὲν ἐπισπείσω καὶ
130 δάκρυον, κρέας δὲ παραθήσομαι, συνεπιθήσω ψωμούς, πόπανα, μελιτούττας, ὀπώρας καὶ τἆλλα ὁπόσα πνέων ἀέρα βορῶς ἤσθιες. σύγκλαυσόν μοι Θεσσαλονίκης οὕτω δυσφοροῦντι, οὕτω παθαινομένῳ, καὶ μὴ μειδία τὴν γραφὴν ἐπερχόμενος, ὡς ἂν μικροῦ κακοῦ γεγονότος, μηδ' ἀπολωλότος μεγάλου, μηδὲ τὴν ἐμὴν καρδίαν σπαράξαντος, μὴ κἀπὶ τῷ Κότᾳ φιλοψογήσῃς, ὦ φι-
135 λόψογε σὺ περὶ τὰ ἐμὰ καὶ περὶ τὰ μεγάλα πάθη ἀνάλγητε. πέρας λόγου τὸ πᾶν ἄκουε. ἐθρήνησεν Ἰωνᾶς ἀποψυγείσης τῆς κολοκύντης, τὰ ἐς ψυχὴν ἐπαθήνατο, σκώληκος ἑωθινοῦ ἐκείνην πατάξαντος, τῆς ζωῆς προετιμήσατο θάνατον. θρηνολογῶ κἀγὼ καὶ παθαίνομαι θανάτου πατάξαντος τὴν παρακλητικὴν ἐμὴν ἐπισκίασιν. κύριε ζωῆς, θανάτου δέσποτα, δὸς τῷ μὲν θανόντι
140 σῷ δούλῳ τοὺς κόλπους τοῦ Ἀβραάμ, ἐμοὶ δὲ τὸ πράως ὑπενεγκεῖν τῆς ἀλγηδόνος ταύτης τὴν βάσανον, τῷ δὲ μεγάλῳ Θεσσαλονίκης τὸ μετρίως ἐνέγκαι τὴν ἐμὴν παιδιάν, εἰς ἣν ἑκοντὴν ἐπέῤῥιψα ἐμαυτόν, ὡς ἂν εἰδείην, εἴ τι γεννήσομεν ἐν τοῖς ἀναφόρμοις ἀκοῆς ἄξιον +.

68

Πρὸς τὸν μητροπολίτην Λαρίσσης + Bl.

Τόσα, δέσποτα, ἠγάπησα τὸν Μακρόν, τὸν σὸν καινὸν χαρτοφύλακα, ὁπόσα ἕκαστος ἑαυτόν· καὶ τόσα πάλιν ἐθλίβην τῶν εἰς ἐμπόδιον ἀκούσας τῆς αὐτοῦ προκοπῆς, ὁπόσα λυπηθήσεται χειροκοπούμενος ἄνθρωπος ἢ τοὺς ὀφθαλμοὺς
5 ἐκκοπτόμενος. τετάρτην γὰρ τοῦ ἰουνίου μετροῦντος καὶ τοῦ ἐμοῦ τὸν ἀπὸ τῆς μητροπόλεως βουνὸν καταβαίνοντος ἐπὶ τὰ δένδρα τὰ σκιάζοντά μου τὴν κεφαλὴν καὶ τὴν ἡλιακὴν ἀποκρουόμενα φλόγωσιν, γυνή τις ὑπήντησέ μοι, ἀπάρτι πολιοκρόταφος, τὸ σῶμα κατάκρεως, πατρίδα ἑαυτῆς αὐχοῦσα τὴν Κόρινθον καὶ θυγατέρα λέγουσα εἶναι Ἁγιοαγαθίτου τινὸς τοῦ τῆς ἐκεῖσε
10 μητροπόλεως κληρικοῦ· ἀλλ' αἱ μὲν ἐξαγγελίαι τῆς γυναικός, ἕως ὧδε πε‖ Bl. πέρανται, τὰ δὲ ἑξῆς μετὰ περιπαθείας ἐγὼ διηγοῦμαί σοι, ἀλλ' οὐδ' ἐξηγησάμην σοι ἄν, εἰμὴ κατὰ τῶν τῆς ἐκκλησίας θεσμῶν ὑπενόουν εἶναι τὴν σιω-

67 [122] καθήσω — [130] μελιττοῦτας — [140] Ἁβραὰμ

πήν· διατείνεται γάρ, ὅσοι ὅρκοι πάντας ὀμνύει, παρθενικὴ γυνὴ χρηματίσαι τοῦ εἰρημένου Μακροῦ καὶ τὴν αὐτῆς ἱερολογίαν ἐπὶ θριάμβου γενέσθαι τῆς Κορινθιακῆς συνελεύσεως καὶ συνελθεῖν αὐτῇ τὸν νυμφίον καὶ ἀποπαρθενῶ- 15 *σαι αὐτήν. ἐξ ἐκείνου δέ φησι καὶ μέχρι τοῦ δεῦρο τὸν ἄνδρα ταύτην ἀπολιπεῖν ἔρημον, τῆς ἀπ' αὐτοῦ προνοίας ἀπροστάτευτον, ταύτην δὲ πάλιν κωλῦσαι εἰς ἀναζήτησιν ἐλθεῖν τοῦ Μακροῦ τὰ κοσμικὰ δυσχερῆ καὶ τὴν ἐκ τῶν Λατίνων ἐπήρειαν. ὑπελάμβανε δέ φησιν ἢ θανεῖν τὸν Μακρὸν ἢ τὰ Ἑῷα περινοστεῖν καὶ παρὰ τοῦτο οἴκοι καθῆσθαι καὶ τὰ ἐκ τῆς χηρείας ὑπομένειν* 20 *ἀνιαρά. καὶ ἐνεφάνισεν ἡμῖν ἐκμάρτυρον ἔγγραφον γενόμενον κατὰ Κόρινθον καὶ φέρον ὑπογραφὰς τῶν τῆς ἐκεῖσε μητροπόλεως κληρικῶν, πιστουμένων καὶ τούτων τὰ παρὰ τῆς γυναικὸς διαλαληθέντα. καὶ συνέσχε με ἀπορία, πῶς ὁ καλὸς Μακρὸς καὶ περιδέξιος ἄνθρωπος προσιστάμενα ταῦτα εὗρε τῇ αὐτοῦ προκοπῇ ἐκ τοῦ τὴν προγαμηθεῖσαν ἀφεῖναι καὶ συνοικῆσαι δευτέρᾳ. ταῦτ'* 25 *ἐγὼ μαθὼν ἐγνώρισά σοι, κρεῖττον ἡγησάμενος μένειν οὕτω τὸν ἄνθρωπον ἢ πρὸς ἐπισκοπὴν ἀναχθέντα καὶ καταγνωσθῆναι καὶ καταχθῆναι, ὅπου γε καὶ τοῦ διακονικίου, εἰ ταῦτα οὕτως ἔχει, καταβιβάζεται. καὶ ἔστιν ἡ γυνὴ ἐν Ναυπάκτῳ καὶ τὸ ἐκμάρτυρον παρ' ἡμῖν. πρόσσχες οὖν, δέσποτα, τί μέλλεις ποιεῖν, ἢ πάντως τὴν μὲν προχείρισιν ἀναρτῆσαι, τὰ δὲ τῆς ἀκοῆς διασκέ-* 30 *ψασθαι. τὰ δὲ σὰ εἴθε μετρίως ἔσχεν ἐν τῇ ἐνεργουμένῃ χώρᾳ ζητήσει, τὰ ἡμέτερα, βαρέως ἐπιθεμένου ἐπὶ αὐτὰ καὶ ἡμᾶς τοῦ κατάρχοντος ἐν Ναυπάκτῳ. τὰ μὲν χωρία ἐξηνθρωπίσθησαν, ὡς πρὸς βουνοὺς καὶ νάπας καὶ κατάδενδρα ὄρη καὶ θάμνους δασεῖς ἀποφευγόντων τῶν οἰκητόρων, οἱ πόνοι καὶ αὐτῶν καὶ ἡμῶν καὶ ἀχρειοῦνται καὶ ἀποῤῥέουσιν, ἐκ τοῦ μὴ εἶναι τοὺς θερι-* 35 *στάς, νὺξ δὲ μόνη τοὺς ταλαιπώρους ἐπισυνάγουσα καὶ πτωχοὺς ἐπὶ σκοτεινὴν καὶ μερικὴν συγκομιδὴν τῶν σπερμάτων ἐξιέναι προτρέπεται. οἱ δὲ τὰ μὲν συμπατοῦσι, τὰ δὲ συλλέγουσι, καὶ ἔστιν ἡ ζημία μεγάλη καὶ τὸ οὐαὶ πολὺ καὶ ὁ κλαυθμὸς ἀπαράκλητος. καὶ ταῦτα γίνεται μετὰ τὸ βιολογηθῆναι ἡμᾶς καὶ ἀποτῖσαι τὸ βιολόγημα. ἔχει δέ τι καὶ τοιοῦτον ὁ ἄρχων οὗτος·* 40 *ὑποκρίνεται μὲν ἀγάπην καὶ ἡμερότητα, μὴ παρόντος καιροῦ, δραττόμενος δὲ ἀφορμῆς τὸν κρυπτὸν ἀνακαλύπτει ἐχθρὸν καὶ ἀποδίδωσιν ἑπταπλάσια. συνέπεσε δέ τι καὶ ἕτερον, ἡμίονον ἔχω θήλειαν εὐφυῶς περιπατοῦσαν καὶ τὴν ἡλικίαν νεάζουσαν, ἐπαγγελλομένην δὲ καὶ σημεῖα διδοῦσαν, ὡς καὶ μείζονα τῆς ἡλικίας λάβῃ ἀναδρομὴν καὶ βαδιεῖται ὀξύτερον· ταύτης ἔκτοπος γε-* 45 *νόμενος ἐραστὴς ἐθηριώθη, ὅτι ζητήσας οὐκ ἔλαβε. πέφυκα δὲ καὶ ἐγὼ μὴ ἀναφόρμως τὰ ἐμὰ προϊέναι, μηδὲ κατεπτηχώς τις εἶναι καὶ δειλὸς ὡς οἱ λαγωοί, ἀλλὰ δικαίῳ τῷ λόγῳ κύριος εἶναι τῶν ἐκ θεοῦ διδομένων μοι· ἐν τούτοις ὄντων ἡμῶν, αὐτὸς λαβόμενος ἀφορμῆς πᾶσαν ἰδέαν ἐπήνεγκέ μοι κακοῦ καὶ ἐπὶ τὸ ἄλγος τῶν ἀπ' αὐτοῦ μοι τραυμάτων προσέθετό μοι. καὶ νῦν οὐκ* 50 *ἔχω, ἐξ ἀπορίας, πῇ βαδιοῦμαι καὶ πῇ τράπωμαι. ἡ λύπη κατέφαγέ με, ἡ*

68 [21] *ἐκμαρ*^τϱ´` (wo auch unter Z. 29) — [22] *φέρ(ων)* — [25] *τοῦ* nach einer Verbesserung des ursprünglichen *τὸν* — [25–26] *Τᾶυ*^τ*ἐγὼ* — [30] *προχείρησιν* — [40] *ἀποτίσαι* — [43] *περϊ*^πα*τοῦσ(αν)* (das *πα* nachträglich geschrieben) — [46] *Δε``Sἐγὼ* — [47] *κατεπτηχὸς*

ἀτιμία κατεδαπάνησέ με, ἡ ζημία κατεμερίσατό με, καὶ βλέπων πρὸς τὰς ὑπ' ἐμὲ ψυχὰς καὶ τὴν ἀπώλειαν τῶν καρπῶν λιμὸν προμαντεύομαι καὶ πεῖναν καραδοκῶ, ταῦτα δὴ τὰ τιμητικὰ τοῦ τῆς μεγάλης ἐκκλησίας μητροπο-
55 *λίτου, ταῦτα τὰ πρεσβεῖα τοῦ τὴν ἡλικίαν προβεβηκότος, ταῦτα τὰ ἔντιμα τοῦ γνῶσιν ἔχοντος μερικήν, ὡς οἱ πολλοί μοι καταχαρίσονται. γίνου μοι συλλήπτωρ ἐν τούτοις, συλλήπτωρ δὲ θεὸν ἐμοὶ ἱλεούμενος, καὶ πληθύνων αὐτῷ ὑπὲρ ἐμοῦ προσευχάς* +

69

Πρὸς τὸν κρατοῦντα +

Μέγιστε βασιλεῦ καὶ βασιλέων ὑπέρτερε, τῶν μὲν ἐγγὺς καὶ ὡς εἰπεῖν συναπτῶν, ὅτι ἐκεῖνοι μὲν κατατρυφῶντες μόνον τῆς βασιλείας καὶ ῥᾳθυμοῦντες ἐν ταῖς ἀναγκαίαις τῶν πράξεων καὶ ὅσα πολιτείαν καὶ βασιλείαν συνίστη-
5 *σιν ὀπίσω βασιλικῆς φροντίδος ποιούμενοι καὶ βασιλείαν ὁμοῦ καὶ πολιτείαν ἀπώλεσαν, τῶν δὲ κατωρθωκότων μεγάλα καὶ προσκληρωσαμένων πόλεις τῇ βασιλείᾳ καὶ χειρωσαμένων ἐχθροὺς καὶ νικησάντων τοὺς ἀντιμάχους καὶ παρασχομένων ὕλην τοῖς γράφουσι τὰ σφῶν ἀριστεύματα, ὅτι πρὸς ἐκείνους παραμιλλώμενος νίκας νίκαις προστίθεις, τροπαίοις ἐπιστοιβάζεις μείζω τὰ*
10 *τρόπαια, ἐξ ὧν ἢ δι' ὧν ὑπολήψεις δίδως, ὡς κἀκείνους ὑπερβαλεῖς καὶ τὰ ἐκείνων ἀποκρύψεις ἀνδραγαθήματα καὶ δώσεις ὕλην τοῖς χρονογράφοις καὶ μόνος ἔσῃ τοῖς λογογράφοις ὑπόθεσις. τίς γὰρ εἶδεν ἄνθρωπον πλασθέντα ἐκ γῆς καὶ τὸ σωματικὸν ἐφόλκιον περικείμενον μὴ πόνοις εἴκοντα, κόποις μὴ ἐνδιδόντα, || μὴ βρωμάτων ἢ πωμάτων ἡττώμενον, μὴ νικώμενον ὕπνῳ,*
15 *μὴ καθεύδοντα ἐπὶ κλίνης, ἀλλ' αἰσχυνόμενον ὥσπερ, εἴ ποτε καὶ ὀφθείη μικρὸν ἠρεμῶν καὶ σχεδίου μεταλαμβάνων τῆς βρώσεως; ταῦτα τὰ προκεντήματα τῶν σῶν ἀγώνων, κράτιστε βασιλεῦ, καὶ κύκλον διαγράψαι σε κατορθωμάτων ὑπόσχωνται τὸν ἐντελῆ τε καὶ τὸν πληρέστατον· εἰ δὲ καὶ πολὺν ζήσεις χρόνον καὶ προστεθήσεταί σοι ἔτη ζωῆς, ταῦτα δὴ τὰ εὐκταῖα ἐμοί,*
20 *τίς ἀμφιβαλεῖ μὴ καὶ γῆν σε πᾶσαν ἢ τὴν πλείστην διαδραμεῖν καὶ ὑποκλῖναι σοι ἔθνη, ὧν νεῦρον μὲν σιδηροῦν ὁ τράχηλος, ἀκλινὴς δὲ πρὸς δουλείαν καὶ πρὸς ὑποταγὴν βασίλειον ἄκαμπτος; τὸ δ' ἀνὰ χεῖρας καὶ τὸ παρὸν θηριομάχει, ἄρκτων ἀγρίων κατάτρεχε καὶ παρδάλεων, ἔξαγε τοὺς ὄφεις τῶν χηραμῶν, ἀπανάστα τὰ θηρία τῶν φωλεῶν, ὁπόσα ταῦτα τὸν Ἕλληνά με καὶ*
25 *τὸν Γραικὸν τοῖς αὐτῶν ὀδοῦσι κατεμασήσαντο, ἐθανάτωσάν τε τῷ σφετέρῳ ἰῷ καὶ μηδὲ μετὰ θάνατον οἰκτισάμενα διεμερίσαντο καὶ κατέφαγον. ταῦτα καί σε ποιεῖν ἔδει τὸν χειροτονητὸν ἀπὸ θεοῦ καὶ τοὺς τῶν ἡμετέρων ἐπιβάτας παθεῖν, ὅτι κατεδίωξαν πένητα καὶ πτωχὸν καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι· ἀλλὰ συνέθλασε διὰ σοῦ ὁ θεὸς τὰς μύλας τῶν ἀν-*
30 *θρωπομόρφων τούτων λεόντων καὶ εἰς τὸ παντελὲς αὐτοὺς ἀφαντώσειεν, ἵνα σὺ μὲν τὴν εὐφημίαν ἔχῃς εἰς αἰῶνας ἀνάγραπτον, ἐγὼ δὲ τὸ ὑπήκοον τοῦ*

69 [13] *εἴκοντα* — [15] *ὠφθείη*

*κακοποιοῦ δεσμοῦ ἀνεθῶ καὶ τὴν προτέραν ἐλευθερίαν εἰς τὸ ἑξῆς ἀδού-
λωτον ἀπολήψωμαι. γένοιτο ταῦτα καὶ τῆς ἰταλικῆς μιαρίας καὶ ναοὶ καὶ
πόλεις καὶ τῇ βασιλείᾳ ὅσα ὑπήκοα τὴν κάθαρσιν καὶ τὸν ἁγιασμὸν ἀντιλά-* 35
*βοιεν· ἐπανατείνοντι δέ μοι παράκλησιν κλῖνον τὸ οὖς σου καὶ εἰςάκουσον
τῶν ῥημάτων μου· ὁ τοῦ Ἀγγελοκάστρου καστροφύλαξ ὁ Ταρωνίτης, ὁ ξέ-
νος, ὁ παραλελυμένος, ὁ πολλὰ ἐλεηθεὶς ὑπὸ τῆς σῆς βασιλείας, αἴτησιν δι-
καίαν αἰτεῖ διὰ τοῦ ἱερέως ἐμοῦ· ἡ αἴτησις δέ, τὴν μὲν σὴν βασιλείαν
τὴν ἐπὶ τούτῳ ἀγανάκτησιν μετριάσαι, διορίσασθαι δέ, ᾧ ἂν διαγνῷς τὴν* 40
*σὴν ψυχὴν ἀγαπᾶν καὶ τὸ ταύτης ἀκριμάτιστον θέλειν, ἐξετάσαι τὰ κατ' αὐ-
τὸν καὶ τῶν κατειπόντων αὐτοῦ καὶ κελεῦσαι γενέσθαι τὰ ἐπὶ τῷ Ταρωνίτῃ
τούτῳ ἀνάδικα. διόμνυται γὰρ ψευδῶς εἰσηγηθῆναι τῇ βασιλείᾳ σου κατ' αὐ-
τοῦ καὶ διὰ προαποκειμένην μόνην ἀπέχθειαν. οὐ μόνον δέ, ἀλλὰ καὶ τὰς
ὁρισμῷ τῆς σῆς βασιλείας διαστάσας ἀπὸ τούτου γυναῖκας, ἥν τε ἔγνω ἐν* 45
*βίῳ καὶ ἣν ἐγέννησεν ἐξ αὐτῆς, πάλιν σῇ κελεύσει μετ' αὐτοῦ συνελθεῖν,
ὥστε ὑπηρετεῖν αὐτῷ καὶ νοσοκομεῖν, ὄντι μικροῦ παραλύτῳ καὶ δεομένῳ
ὑπηρετήσεως. καὶ ὡς εἴπω τι καὶ γελοῖον, ὃν ἡ χελώνη δάκῃ, κύριε, μὴ ζήσῃ.
καὶ ἄκουσόν μου, δέσποτά μου καὶ βασιλεῦ, καὶ οἴκτειρον ἄνθρωπον δίκαια
μὲν αἰτοῦντα, ἐγγὺς δὲ ὄντα θανάτου διὰ τὴν ὁλομελῆ πάρεσιν. τὰ δὲ τοῦ με-* 50
*γάλου Ἄρτης εἰς τὸν μητροπολίτην νεανιεύματα, τὰς ὕβρεις, τὰς ἑτέρας
ἀτιμολογίας, τὰς περιφρονήσεις, τοὺς τωθασμούς, τἆλλ' ὁπόσα ὑπέρφρων
ἄνθρωπος οὗτος καὶ ἀλαζὼν διαπράττεται καὶ ἀγνοῶν τίς ἦν χθὲς καὶ τίς
ἐγένετο σήμερον, ὡς χθὲς μὲν ὀνηλάτης τοῦ Καλοήθους ἐκείνου καὶ μάγει-
ρος, σήμερον δὲ λαοῦ προεστὼς καὶ χώρας πολυανθρώπου πατήρ, εἰ ταῦτα* 55
*τὰ ἐξ αὐτοῦ πρὸς ἡμᾶς, τοὺς ἀναγωγεῖς, τοὺς παιδευτάς, τοὺς εὐεργέτας
καὶ πρώην ἤθελον γράφειν, ἀλλά, πιστεύσατε, ᾐσχυνόμην, μήπως τὸ τοῦ
Αἰσωπείου ἀετοῦ εὐστόχως ἀποτοξεύσει τις εἰς ἐμέ· ἐκεῖνος γὰρ βληθεὶς
βέλει καὶ ὀδυνώμενος τῇ πληγῇ, ὡς ἐγνώρισεν ἐν τῷ βέλει πτερὸν ἑαυτοῦ,
στενάξας, τὰ ἐμὰ πτερά με διώκουσι. ταῦτα πάσχω ἐκ τούτου, τοῦ ἐμοῦ* 60
*βασιλέως καὶ ζῶντος καὶ βασιλεύοντος. ἐπήρθη οὗτος ὁ ἄνθρωπος· νόμους
ἐπισκοπικοὺς ἀγνοεῖ, αὐτοχειρὶ τοὺς ἱερέας μαστίζει, ἑτέρων κόπτει τὰ γένεια,
ἀδεῶς πάντα πράττει· εἴ ποτε δέ τις καὶ ψιλὴν προσκύνησιν ἀπονέμῃ μοι,
ὁ δὲ θανατᾷ ἐκ τοῦ παραυτά, κακούμενος, ζημιούμενος, ἀφοριζόμενος, διω-
κόμενος· οὔτε πατριάρχου ὄνομα ἐν τῇ Ἄρτῃ οὔτε μητροπολίτου θέλει ἀκού-* 65
*εσθαι· ἀεὶ δὲ καιροφυλακεῖ καὶ τὴν αὐτοκεφαλίαν φαντάζεται· ἀλλ' ἐντεύξο-
μαί σου τῇ βασιλείᾳ ἢ προσώπῳ ἢ ἐκθετικωτέρῳ τῷ γράμματι καὶ γνώσει,*
Bl. 51b *δέσποτά μου καὶ βασιλεῦ, ὡς οὐ μάτην ἀσχάλλω οὐδὲ λυποῦμαι εἰκῇ· ὡς δὲ
ἐγὼ κρίνω, ἐξ ὧν πράττει, ἐγγύς ἐστι τοῦ πεσεῖν. || ἡ γὰρ ἄκρατος χεὶρ καὶ
ὁ προχεόμενος ἀσχέτως θυμὸς τὴν πτῶσιν τούτου κατεπαγγέλλονται. γένοιντό* 70
*σου τῇ βασιλείᾳ οἱ χρόνοι μακροί· καὶ ὄψονται λαοὶ καὶ εὐφρανθήσονται,
ἐπὶ θρόνου κατὰ Πόλιν τὴν μεγάλην καθήμενον τοῦ βασιλικοῦ. πέποιθα δέ,*

69 37 *Ταρω*ς (unten Z. 42 ist das ganze Wort geschrieben)

ὡς καὶ τὰ καθ' ἡμᾶς ἐπισκέψῃ καὶ κρίσιν ἐξενέγκῃς δικαίαν κατὰ τῶν πολυτρόπως ἀδολεσχούντων καὶ εἰς ἐμὲ ψαλλόντων, ὅ φησιν ἡ Γραφή, οὐ πινόν-
75 *των μὲν οἶνον, μεθυόντων δὲ τῷ θυμῷ καὶ καρηβαριώντων ἐκ τῆς ἐπάρσεως. προσαναφέρω καὶ ἕτερον· ἡ κατὰ Βόνδιτζαν ἐκκλησία σου, ἐν ᾗ τοῦ θεοῦ τιμᾶται ἡ μήτηρ, εἰς οἰκοδομὴν ἕλκεται ὡς εἷς τῶν ἀγελαίων καὶ τῶν ἀγροίκων· καὶ ταῦτα, γῆν τὴν ἰδίαν ἐργαζομένη καὶ μὴ τὴν σήν· καὶ μὴ καινίσῃς, δέσποτά μου, τὸ μήπω πραχθέν, μηδὲ δώσῃς τῇ βασιλείᾳ κατάρρησιν ἐκ τοῦ*
80 *καινίσαι ὃ μὴ κεκαίνισται. τί δὲ τὸ ἐκ τούτου τῷ βεστιαρίῳ σου πρόσθεμα; καὶ ταῦτα τῶν μὲν κακῶν πεφυκότων ῥιζοῦσθαι, ὥσπερ καὶ καταδύεσθαι εἰς βαθύτητα, τῶν δ' ἀγαθῶν φυτευομένων μὲν ἐπιπόλαιον, ξηραινομένων δὲ καὶ ταχὺ διὰ τὸ μὴ ἔχειν γῆν ἰκμάδα. ἀλλ' ἐκρίζωσον, βασιλεῦ, καὶ προθέλυμνον ἔκσπασον, ὡς εἰπεῖν καὶ ποιητικῶς, τὸ ῥιζοβόλημα τοῦτο, τὸ τῇ ἐπι-*
85 *σκοπῇ σου ἀσύνηθες +*

70

[Ohne Adressatangabe.]

Δέσποινά μου ἁγία καὶ κραταιά, τὴν προσκυνητὴν γραφὴν τῆς ἁγίας σου βασιλείας ἐδεξάμην ἐν Βονδίτζῃ. ἐν ταύτῃ γὰρ εὑρέθην τῆς μὲν ἀρρωστίας διὰ τῶν εὐχῶν τῆς ἁγίας σου βασιλείας ἀνακτώμενος, μήπω δὲ δυνάμενος εἰς τὴν Ναύπακτον ἀπελθεῖν· καὶ ἀναγνοὺς τὴν γραφήν, ὑπὲρ μὲν τῶν ἐν ταύτῃ φρον- Bl. 51
5 *τίδων τῆς βασιλείας σου τῆς ἐμῆς ζωῆς ἕνεκεν καὶ ὑπερηυξάμην σου καὶ πάντα σωτήρια ἐξῃτησάμην σοι ἐκ θεοῦ, ἐπὶ δὲ τοῖς ἐπαίνοις ἐβάρυνάς με, καθότι οὐδὲν ἀγαθὸν ἐμαυτῷ συνεπίσταμαι, οὐ πνευματικόν, οὐ σωματικόν, οὐ θεῖον οὐδὲ ἀνθρώπινον, ἢ γὰρ ἂν καὶ ὑγίαινον καὶ εὐρωστότερον εἶχον καὶ τῆς κατὰ κόσμον εὐθυμίας ἀπήλαυον· νῦν δὲ ψυχὴν μὲν ῥυπαίνων, σῶμα*
10 *δὲ μολύνων, ἀκολασταίνων γλώσσῃ, ἀδικῶν χειρί, ποσὶ βαδίζων ἐπὶ τὰ χείριστα, δικαίως παροργίζω θεόν, καὶ τὰ κακοῦντα τὸ σῶμα τοῦ παροργισμοῦ ἀντιλαμβάνω παιδεύματα. εἰ γοῦν αὐτὴ ταῖς σαῖς εὐχαῖς ἐπιρρώσεις με, θαρρῶ γὰρ ἐπὶ ταῖς σαῖς προσευχαῖς ὡς ἐπὶ ὁμολογουμένου ἁγίου, πάντως καὶ ἀντιλήψομαι τῶν χρηστοτέρων πρακτέων καὶ θεὸν θεραπεύσω καὶ τότε*
15 *τοὺς ἐπαίνους ἀληθεῖς ἀποδείξω. ὡς τό γε παρόν, τῆς μὲν ἐμέ σου εὐνοίας πολλά σοι χρεωστῶ τὰ εὐχαριστήρια, ἐπὶ δὲ τοῖς ἐπαίνοις φράσσω τὸ οὖς, καὶ ἀποδιαιρῶν αὐτοὺς τῆς βασιλικῆς σου εὐνοίας εὑρίσκω τοὺς λόγους ἀπράκτους τέως τὰ εἰς ἐμέ. ἀλλὰ γένοιτό σοι πολλὰ τὰ καλά, καὶ ὁ βίος μακρὸς καὶ ἡ βασιλικὴ ἀξία μακροχρονοῦσα καὶ κατὰ τὴν βασιλεύουσαν πό-*
20 *λιν τὸ κῦρος ἀπολαμβάνουσα, ὅπου καὶ πόλις ἐκείνη κοσμηθήσεται δι' ὑμῶν καὶ ἀντικοσμήσει τοὺς βασιλεῖς, ὡς τῆς βασιλείας ἐπώνυμος. ἐγὼ τέως ἀντὶ πάντων ἀλλάττομαι τὸ ὑμέτερον βασιλεολόγημα, οἷς ἐγνωρίσθην, ὑφ' ὧν ἐτιμήθην καὶ τῇ τῆς βασιλίσσης ἀναδοχῇ ἐμεγαλύνθην ὑπὲρ πολλούς. εἰ γὰρ*

69 [79] *δῶ^{ςς}* — [80] *δὲ τῷ* — [82] *ἐπὶπόλαι(ον)* — [84] *τ(ὴν) τῇ*
70 [15] *ἐμέσου* — [21] *ἀντϊκομήσει*

κρείττων μὲν ψυχὴ σώματος, πρωτεύει δὲ τῶν σαρκικῶν τὰ πνευματικά, ἐκ τοῦ ἀναλόγου, τῶν ἐγγιζόντων τῇ βασιλείᾳ σου κατὰ σάρκα, ὁ πνευματικὸς 25 *ἀνάδοχος προφερέστερος. καὶ τί λέγεις, εἰ κατὰ πόλιν τὴν μεγάλην εἶδον ὑμᾶς ἐπὶ θρόνου μὲν καθημένους τοῦ βασιλείου, τῆς εὐγενείας δὲ καὶ τῆς βασιλείας τὰς μαρμαρυγὰς ἀποπέμποντας, κἀμοὶ τὸ τιμητικὸν ἐκεῖθεν καὶ τὸ περιποιητικὸν δαψιλεύοντας, ἆρ' οὐκ ἐκ γέροντος ἐγενόμην τάχα νεάζων καὶ ἐκ χωλοῦ ἐλάφου δίκην ἁλλόμενος καὶ ἐκ νωθροῦ εὐκίνητος καὶ ταχύς, ὅπου* 30 *γε καὶ τῶν πραγμάτων τοιούτων ἄρτι μὴ ὄντων, τὰ ἐκ τῆς βασιλείας σου μεγαλεῖά μοι πλούσια καὶ δαψιλεῖς αἱ περιποιήσεις καὶ τῆς ἐμῆς ζωῆς ἐπιθυμίαι θερμόταται; ἀντὶ τούτων ἁπάντων κληρονομήσαις τῆς βασιλείας, χρόνους ἐπιμετρήσαις ἐν ταύτῃ συχνούς, ἀνοίξαις σοὺς ὀφθαλμοὺς ἐπὶ τῷ βασιλεῖ καὶ δεσπότῃ μου, βαρὺ μὲν εἰπεῖν, ἐφ' ὅσους ἔζησε Τιθωνός, εἰ μὴ μῦθος τὸ ἐκεί-* 35 *νου μακρόβιον, ἐπὶ τοσούτους δέ, μεθ' οὓς οὐκ ἔστι πλέον λαβεῖν, μηδ' ἀρχομένους ἀπὸ μονάδος*

[Die Fortsetzung nicht vorhanden.]

71

[Ohne Eingang.]

Bl. 52a *περίγειον καταβαίνεις καὶ ὡς ἐκεῖνος πάντας ἕλκεις πρὸς ἑαυτόν, ὅτε πλέον ὑψώθης, ὅτε πλέον ἐμεγαλύνθης· ἐκείνου γὰρ γνησίως κατακούεις τοῦ λέγοντος, ὅταν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. ἀλλ' ἔτι νύσσα λέλειπται τήν σε χρεὼν προμολεύειν, ταύτην δὴ καὶ τρέχε θεῷ συνεργούμενος, τῇ κραταιᾷ χειρὶ συγκροτούμενος, τῷ ὑψηλῷ βραχίονι συνασπιζόμενος·* 5 *ὁμάλιζε τοὺς ὄχθους, ὁπόσους ἡμῖν ἰταλικὴ τυραννὶς ἐπεβόθρευσεν, ἀπογνάθου τούτους τοὺς λέοντας, γίνου τῷ ἀλλοφύλῳ ἔθνει νέος Δαυίδ, βάλε ἐν τῷ πολεμικῷ σου καδδίῳ τρεῖς λίθους, τῆς ἰσοσθενοῦς τριάδος τὴν δύναμιν, σφενδόνησον αὐτοὺς κατὰ τοῦ ἀλλοφύλου, πλῆξον τοῦτον ἐν τῷ ἀναισχύντῳ μετώπῳ, θεοῦ παράταξιν ὀνειδίζοντα, θανάτωσον αὐτὸν ἐκ τοῦ παρευθύ, ἆρον* 10 *ὄνειδος ἐξ ἡμῶν, ὡς ἐκεῖνος τῶν υἱῶν Ἰσραήλ, καὶ χορευσάτωσαν ἐπί σοι παρθένοι ψυχαί, ἐπάταξεν, ἀναψάλλουσαι, ὁ βασιλεὺς ἡμῶν, ἐν μυριάσι κἂν οὐκ ἐν χιλιάσιν οἱ προσεχῶς πρό σου βασιλεῖς, ἀλλ' οὐδ' ἐν ὀλιγοπόσῳ τῷ ἀριθμῷ· καὶ ταῦτα τῆς ὅλης Ῥωμαΐδος κατάρχοντες. γνώτωσαν ἔθνη, ὅτι ὄνομά σοι βασιλικὸν καὶ δραστήριον· κραταιωθήτω ἡ χείρ σου, ὑψωθήτω ἡ δε-* 15 *ξιά σου, γίνου τοῖς μὲν ἐχθροῖς πέλεκυς κόπτων πέτραν ἢ πῦρ ἐν ἀκάνθαις, ὅ φησιν ἡ Γραφή. ἐπιμέρισον αὐτοῖς καὶ ἡμῖν τὰς ἐνεργείας τῆς σῆς ἐμπύρου κατὰ τῶν παλαμναίων ὁρμῆς, ἐπικληρούμενος ἡμῖν τὸ ταύτης φωτιστικόν, ἐκείνοις δὲ τὸ καυστικὸν αὐτῆς καὶ ὀλέθριον. τὰ μὲν οὖν εὐκταῖά μοι ταῦτα· ἐπιποθία δέ μοι καὶ τῇ σῇ βασιλείᾳ ἐμφανισθῆναι καὶ* 20 *τὴν ἐκ βαπτίσματος ἀγκαλίσασθαι θυγατέρα ἐμὴν καὶ ταύτην ἐπικρεμα-*

70 [27] *καθημένου* — 71 [7] *βάλον*

σθῆναί μοι πάλιν, ὡς εὐγενῆ τὸν βότρυν ἐν γερανδρύῳ καὶ εἰς ὀσμὴν μύρου δραμεῖν τοῦ περιβοήτου ἐν μάρτυσι καὶ περιχρίσασθαι ἐξ αὐτοῦ. ἀλλ' ἡ φυσικὴ νόσος, τὸ γῆρας, ἐπαινῶ γὰρ τὸν οὕτως εἰπόντα, καὶ τὸ ἐπίκτητον γῆ-
25 ρας, αἱ ἀῤῥωστίαι, ἐμποδοστατοῦσι τῇ προθυμίᾳ μου. καί τί με δεῖ λοιπὸν πράττειν, διπλῷ τῷ γήρᾳ κακούμενον; εἴ γε μηδὲ τὸν Ἡρακλέα πρὸς δύο, λόγος αἱρεῖ, ἀλλὰ καὶ οὕτως ἔχων, μέγιστε βασιλεῦ, τὴν μυθικὴν χελώνην ἀπομιμήσομαι, ἣν Αἴσωπος πλάττει ἵππῳ ἐπιδρόμῳ διαμιλλήσασθαι καὶ τοῦτον ὑπερβαλέσθαι, σπουδὴν κατατείνασαν. καὶ τοῦ μύθου ὁ νοῦς, τό, ἐν παν-
30 τὶ σπουδαστῷ, τὸ ἀείπονον ἐνεργέστερον. τοῦτο δὴ καὶ ποιήσω καὶ τοῦ πρὸς τὴν σὴν βασιλείαν σταδιοδρομήματος εὐθύωρον ἐπιβήσομαι, εἴ γε καὶ σύ, βασιλεῦ, μὴ μακρύνῃς ἐμοὶ τοῦ δρόμου τὰ στάδια. ὑποποδίσῃς δέ τι βραχὺ πρὸς ἡμᾶς, ὁ τούτων τῶν ἡμερῶν καὶ τῆς ἐνεστώσης γενεᾶς ἥλιος, ἃς καταφωτίζων μὴ λίπῃς, ἕως ἅπαν διαλύσεις νέφος ἰταλικόν, ἐπιπροσθοῦν τῇ λάμψει
35 τῆς ἐκ θεοῦ βασιλείας σου. καὶ χαῖρε, κράτιστε βασιλεῦ, πολυχρονίως ζῶν, πολυχρονίως κατορθῶν, πολυχρονίως ὑψούμενος. ἐμὲ δὲ ἰδὼν τὸ τοῦ Ὁμήρου, οἶδα, ἀναφωνήσεις, ἀλλοῖός μοι, ξεῖνε, φαίνῃ νέον ἠὲ πάροιθεν. παραλυπεῖ με καί τι ἐπισυμβάν, ἡ τῆς τῶν δωρηθεισῶν μοι ἐλαιῶν ἕως πρεσβείου καὶ γήρως καὶ ὅλης ζωῆς καὶ κατοχῆς καὶ χρήσεως καὶ νομῆς πρός τινα ἐρ-
40 γοδότην ἐξ ὁρισμοῦ σου μετάθεσις, ὡς ἂν ἐμοῦ κρειττόνως ἐργοδοτήσοντος τούτου τῇ ἐκ θεοῦ βασιλείᾳ σου τὸ ἐξ αὐτοῦ λαμπρὸν περιβόλαιον· καίτοι ἐμοῦ τοὺς πρεσβυτικοὺς καὶ ἡμετέρους βραχίονας νυκτὸς καὶ ἡμέρας ἐπὶ ἔργον δόντος, τὰς ὑπὲρ σοῦ φημι προσευχάς, τοὺς δὲ πήχεις εἰς ἄτρακτον τὴν ἀδιάλειπτον εἰς θεὸν ὑπὲρ τῆς σῆς βασιλείας περιστροφήν τε καὶ περιδίνησιν
45 καὶ τοὺς τῆς ψυχῆς λεπτοὺς στεναγμοὺς ἐπιπλέκοντος ἀλλήλοις ὡς κρόκην καὶ στήμονα, καὶ τὸ τοῦ σωτηρίου σοι ἐντεῦθεν ἱμάτιον ἐξυφαίνοντος, δίπλακος μαρμαρέης λαμπρότερον, ἱστουργίας ἰνδικῆς τιμιώτερον. τοιοῦτος ἐργοδότης ὁ γέρων ἐγώ, τοιοῦτος ὑφάντης τῆς σωτηρίου περιβολῆς. χωρὶς δὲ τούτων ψυχρὸν καὶ ξηρὸν τὸ γῆρας ὑπὸ τῶν φυσικευομένων ἀνωμολόγηται. τὸ
50 ἔλαιον δὲ ὑγρὸν ὁμοῦ καὶ θερμὸν καὶ πρόσωπον ἱλαρῦνον, μάλιστα γηραιόν. καὶ ἵνα τί με, βασιλεῦ προμηθέστατε, καὶ ἄθερμον παρῆκας καὶ ἄνυγρον; ὡς ἐγὼ τάχα θᾶττον θανοῦμαι ἀποβαλὼν τὰς ἐκ τοῦ ἐλαίου ποιότητας, σὲ δ' ἐπιλίπῃ ἡ ἐκ || προσευχῶν ἐμὴ βελτίστη ὑφαντικὴ καὶ τὸ σωματικὸν αὐτῆς πε- Bl. 52
ριβόλαιον; ἀλλὰ μιμήσομαι, βασιλεῦ, κισσὸν καὶ πολύποδα, ὃς περιπλέγδην
55 ἔχεται δένδρου καὶ ῥᾳδίως οὐ διαλύει τὴν ἐμπλοκήν. πολύπους δὲ ἐξελκόμενος τῆς θαλάμης ταῖς πέτραις προσέχεται καὶ οὐ πρὶν ἀφίεται τῶν πετρῶν, πρὶν ἂν ἢ τὰς κοτύλας ταῖς πέτραις ἐναπομεῖναι, ἢ ταύτας ταῖς κοτύλαις συνελκυσθῆναι. ἀναβαίνει δὲ καὶ ἐλαίας, ὡς λόγος, καὶ χερσοβατεῖ ἀποθαλασσούμενος καὶ τῇ αὐτῇ κοιλίᾳ καὶ κεφαλῇ τὸν τῶν ἐλαιῶν καρπὸν ἀπο-
60 τίθεται. χάρισαι γοῦν ἀνδρὶ γέροντι ὃ ἑκουσίως προεδωρήσω, καὶ ποίησόν με κατὰ τοὺς πάλαι παλαιστὰς ἐλαιόδευτον, περικρατῶν τὸ γῆρας ἐκ τῆς λιπάν-

71 [22] γερανδρίῳ — [24] γήρας wie unter — [27] ἁιρεῖ — [38] ἐπισυμβᾶν — [47] ἰζουργί(ας) — [50] ἱλαρύνον — [51] παρήκ(ας)

σεως, ὡς τῷ ξηρῷ προσεπιπλέκων ὑγρὸν καὶ θεραπεύων τῷ θερμῷ τὸ ξηρόν, κἀκ τούτων τὸ μακροβιώτερον ἐμοὶ πρυτανεύων καὶ τὸ ὑγιεινότερον χαριζόμενος. ἡ δὲ τῆς Βαρεσόβης ἐπίσκεψις τῆς ἐκ τῆς βασιλείας σου ἐπισκέψεως χρῄζει, ταπεινωθεῖσα καὶ συντριβεῖσα, ὡς ἐκ τοῦ γειτονήματος αὐτῆς κατενόησα. ἔδωκα δ' ἂν γνώμην, ἴσως ἐρωτηθείς, ὡς οὐδένα Λατῖνον, κἂν δουλεύῃ μισθοῦ, κἂν τὰ πιστὰ ἐπαγγέλληται, πρέπον εἶναι ἄνδρας Ῥωμαίους ἔχειν εἰς πρόνοιαν. τὸ γὰρ φύσει κατὰ Ῥωμαίων, πῶς τὸ φύσει μεταβαλόν, τὴν ἕξιν ταύτην μεταπλασθῇ καὶ τὴν ἐναντίαν ἀντιλάβῃ διάθεσιν; εἴ τι καὶ λέων καὶ πάρδαλις ἡμερούμενα, ὁ μὲν τὸ θυμῶδες ἀποβαλεῖται, ἡ δὲ τὴν δριμύτητα. ἐπίβλεψον οὖν, δέσποτά μου, καὶ ἐπὶ τὴν χώραν σου ταύτην, ὡς δόξει πάντως τῇ βασιλείᾳ σου +

72

Bl. 52 b

Πρὸς βασιλικὸν γραμματικὸν τὸν Καματηρόν +

Τὰ πρὸς τὸν βασιλέα ἐμά, λογιώτατε καὶ φίλη μοι κεφαλή, ἐκ νοὸς γεννῶνται τῷ γήρᾳ σαθροῦ· καὶ τὸ τῆς μνήμης πινάκιον, ὡς τῶν γερόντων αἱ παρειαὶ τῷ χρόνῳ ῥυτιδωθέν, οὐ παρέχει καθαρὰν τῷ νοῒ τὴν ἐν αὐτῷ ἐγγραφὴν τῶν θεατῶν καὶ τῶν μαθητῶν· ἐντεῦθεν οὐδ' ὁ νοῦς, ὁ βλέπων εἰς τοιοῦτον πινάκιον, ἔχει τι γενναῖον εἰπεῖν. οἱ γὰρ τύποι τῶν μαθητῶν πρὸς ἑαυτοὺς συμπεσόντες οὐκ ἐναργῆ παρέχουσι τῷ λογιστικῷ τὴν τῶν μνημονευτῶν θεωρίαν, ὡς οὐδὲ γραφὴ παλαιωθεῖσα εἰκονίζει τὸ ἀπ' αὐτῆς ἀκριβὲς καὶ τὸν ἐκ τῆς τέχνης σχηματισμόν. σὺ γοῦν τῇ ἐνούσῃ σοι ἐκ σοφιστείας χρωματουργίᾳ ἐπέντριβε τοῖς ἐμοῖς πρὸς εἰκονουργίαν ἀκριβεστέραν τὰ τῆς ἐπιδιορθώσεως χρώματα καὶ τὸ κεχηνὸς ἀναπλήρου καὶ τὸ καταπῖπτον ὑπέρειδε· καὶ χαριεῖς μοι ταύτην χάριν οὐχὶ μικράν, τοῦ ἐκ τῶν λογικῶν παριστορημάτων ἀπαλλάττων με τωθασμοῦ. ἐλαίας ὀλίγας, ἐλαία δὲ καὶ ὁ καρπὸς καὶ τὸ δένδρον, ἐδωρήσατό μοι ὁ κραταιὸς βασιλεὺς ἕως μέτρου ζωῆς· νῦν δ', οὐκ οἶδ' ὅπως, ἢ θέλων ἢ λαθόμενος δέδωκε ταύτας ἐργοδότῃ Κορινθίῳ στρατευομένῳ. εἰ γοῦν ἐπανέλθωσί μοι τὰ δένδρα καὶ κάμῃς ἐν τούτῳ περὶ ἐμὲ τὸ φιλικὸν καθῆκον τηρῶν, ὄντως κληθήσῃ Καματηρός, ἑνώσας εἰς ἓν τὸν κάματον τοῦτον καὶ τὴν τῆς ἀγαπήσεως τήρησιν. ἅμα δὲ καὶ προκεντήσεις μοι κέντρον ἀγαπητικῆς ἀσχολίας, ὡς καὶ κύκλον ἐλπίζειν διαγραφῆναί μοι παρά σου, ἐπικερδεστέρων ἑτέρων πραγματικῶν ἀντιλήψεων. χαρίζου μοι πολυχρόνιος +

73

Bl. 52 b

Πρὸς τὸν Θεσσαλονίκης +

Ἐμέ, πανάγιε δέσποτα, ἐπὶ τοσοῦτον αἱ ἀῤῥωστίαι κατεδαπάνησαν, ὡς ὀλίγου δεῖν ἐν Ἄρτῃ γενόμενος ταῖς χερσὶν ἐναποψῦξαι τοῦ Μονομάχου· προς-

71 [66–67] *δουλεύει*
72 [2–3] *γεννῶντ(αι)* — [8] *εἰκὼν* — [11] *καταπίπτον*
73 [3] *ἐναποψύξαι*

τεθέντα δὲ ταῖς νόσοις καὶ τὰ κατὰ Ναύπακτον ἀλγεινὰ καὶ ταῦτα πρὸς τὸν
5 Ἅδην συνώθουν με. ἀλλ' ἠλεήθην παρὰ μέρος καὶ ἔτι ζῶ, κλινήρης μέντοι
καὶ ποδαλγῶν· τὴν γὰρ ἐκ τῶν νόσων ἐπὶ τὸν Ἅδην καταγωγὴν περιεῖλε
θεός, τὴν ἄλλην δὲ ἀῤῥωστίαν καὶ πλέον ἐπέτεινεν, ὡς σωφρονίζομαι πάν-
τως, ὡς ἐν ὀφθαλμοῖς μου ἔχω τὸ κόλαστρον· τὸ μὲν γὰρ δῶκε θεός, φησὶν
Ὅμηρος, τὸ δ' ἀνένευσεν, ὥσθ' ἥμισύ μου τέθνηκε καὶ τὸ τοῦ κυνικοῦ ἐκεί-
10 νου εἰπεῖν, τὸ δ' ἥμισυ δέρκεται ἠώς. πλέον δέ μοι θανάτου ὁ καθημερινὸς
προπηλακισμὸς καὶ τὸ ἐπάλληλον τῆς κακώσεως· ἐξ ὧν γοῦν τὸ σῶμα νοσῶ,
ἐξ ὧν τὰ ἔξωθεν ἀῤῥωστῶ, ἡ σβέσις τῶν τοῦ σώματός μου λύχνων μαντεύε-
ται καὶ ἡ μακρὰ σιωπὴ καὶ ὁ πρός σε τῆς γλώσσης τὸ ἀπ' ἐκείνου δεσμὸς
καὶ τὸ μακρὸν ἀπροσήγορον· κρίνω γοῦν δέον, ἕως πνέω ἀέρα,

[* Die Fortsetzung fehlt.]

[* 73 α]

[* Der Eingang fehlt.]

πλάττε πρὸς γέροντα, πρὸς πολύπειρον· οὐ γράφω δέ, ὅτι καὶ γλῶσσαν καὶ Bl. 53 a
νοῦν καὶ διάνοιαν γῆρας τὸ λυπρόν, συνεχεῖς ἀῤῥωστίαι, χειρῶν ποδῶν ἄλγημα
καὶ τὰ τοῦ βίου περιστατικὰ συσσαθρώκασί μου, καὶ τοῖς στερροῖς ὑμῖν περὶ
λόγους ὀκνηρὸς ἐπιστολιογράφος ἐντεῦθέν εἰμι. ὅπου γε καὶ τὸ τῆς σῆς λογιό-
5 τητος ἐπιστολιμαῖον πτυγμάτιον ἀγῶνα παρέσχεν ἡμῖν εἰς τὴν ἐκ μέρους ἀνά-
ληψιν. καὶ ἀπεθαύμασά σου τὸ βαθυγνῶμον καὶ τὸ περὶ τὴν λεκτικὴν σκοτει-
νόν, αὐτὸς πρὸς τὸ σαφέστερον ἀποκλίνων καὶ τὸ ἑλληνικώτερον οἰκειούμενος,
καὶ τίς ἂν ᾖς καὶ τὴν φράσιν ὁποῖος, γενναίας ὑπολαβόμενος ὑποθέσεως, ἢ
πάντως βαθέος τὸ τοῦ λόγου κολυμβητοῦ δεόμενος εἰς ἐξήγησιν. ἀλλ' ἀπόχρη
10 ταῦτα λογίῳ ἀνδρί, ὡς μὴ πάθοιμεν τὸ τῆς χύτρας, πέτρᾳ στεγανῇ προσαράσ-
σοντες, ἢ τὸ τῆς παροιμίας, ὄντες αὐτοὶ φαλακροὶ κατὰ κριοῦ κατὰ προσώπου
νυστάζοντες. τὸ δὲ σκύτινον περιβόλαιον ἔστειλα ἄν σοι ἐκ τοῦ εὐθύ, εἰ καιρὸν
εἶχον συῤῥάψαι τὰ δέρματα· εὐθύωρον γὰρ καὶ τὸ σὸν ἐπῆλθον χειρόγραφον καὶ
τὸ ἡμέτερον ἐσχεδίασα, καὶ οὐδὲ τὸν γραμματαγωγέα ὄψει παρέλαβον, ἀλλ' ἐξ
15 ἡμερουσίου καὶ πρὸ τοῦ εἰς Ναύπακτον καταντήματος ἡ σοφή σου πρόσρησις
διεπέμφθη μοι· καὶ γενοῦ μοι καὶ ἔτι ὀλίγον καρτερικῶς. τὸ παρὸν δὲ κατὰ βα-
σιλικὸν ὁρισμόν, καὶ ταῦτα τὸ μεταβατικὸν ἐκ ποδαλγίας ἀφαιρεθείς, διὰ φο-
ρείου φοράδην ἐπὶ τὴν Ἄρταν μετακομίζομαι. καὶ ταῦτα μὲν ἐγράφησαν ὧδε· τί
δὲ πράττειν ἔδει, ἐμοῦ μὲν ἀπερχομένου πρὸς Ἄρταν, σοῦ δὲ καταξιώσαντος αἰ-
20 τῆσαι ἀφ' ἡμῶν δερμάτινον περιβόλαιον, ἢ πάντως καὶ τῇ ὥρᾳ δοῦναί σε
αἰδεσθῆναι; ὅθεν καὶ ἀπεκδυσάμενος ὅπερ ἐφόρουν αὐτός, αὐτένδυτον πέπομ-
φά σοι, πλατὺ μέν, εὐρύχωρον δέ, ποδῆρες δέ, ὁποῖα ταῦτα τοῖς ἐπισκόποις
ἐπιπρεπῆ· καὶ οἶδα, ὅτι καὶ συστελεῖς αὐτὸ καὶ στενώσεις καὶ πρὸς τὸ σφηκῶ-

73 [10] καθ' ἡμερινὸς
73 α [5] πτυσματΐον — [14–15] ἐξημερουσίου — [17–18] φορΐου — [18] ὦδε

δες μεταβαλεῖς, ἵνα μὴ τὸ περίζωμά σου πλατύνηται. ἀλλὰ τὰ περὶ τοὺς ὤμους μόνα καὶ τοὺς μηρούς, τὰ μέσα δὲ καὶ περὶ τὴν ζώνην συστέλληται, ὡς τὰ τῶν ζῴων ἔντιμα ἡ φύσις ἐπλάσατο. τοιοῦτος γὰρ ὁ ἐμὸς Νικόλαος καὶ πάλαι καὶ νῦν, οὐ διαῤῥέων, οὐ πλατυνόμενος, στένωσιν δὲ στενούμενος τὴν ἐπαινετὴν καὶ τῇ σαρκὶ καὶ τοῖς περιβλήμασι καὶ πρὸς τὰς ἐκεῖθεν ἐλπίδας ἑαυτὸν εὐθετίζων διὰ τῆς ἐντεῦθεν ἀναστροφῆς. καὶ χαῖρέ μοι, φίλη κεφαλή, λογία ψυχή· καὶ τοῦτο δὴ τὸ σόν, φίλε παρὰ πᾶσι πιστέ + 25 30

74

Bl. 53 a

Τῷ Βονδίτζης καὶ τῷ Χιμάρας +

Πανιερώτατοι καὶ ἐν Κυρίῳ συναδελφοί, Βονδίτζης καὶ σὺ Χιμάρας καὶ πρωτοσύγκελλε, ὑγιαίνειν τὴν ὑμῶν ἀδελφότητα καὶ θαῤῥῶ καὶ ἐπεύχομαι. ἐμοὶ δὲ καὶ αὖθις ἡ χειρίστη τῶν ἀῤῥωστιῶν ἐπεισφρήσασα, ποδαλγία, τῇ κλίνῃ προσέῤῥιψε καὶ κεῖμαι τὰς ἐκ ταύτης ὑποφέρων ὀδύνας· καὶ περικοπεὶς ἐντεῦθεν 5 τοῦ γενέσθαι κατὰ Βόνδιτζαν καὶ ἀνεθῆναι μικρὸν καὶ λυθῆναί ποτε τοῦ κατὰ Ναύπακτον ἐγκλεισμοῦ· εἰ γὰρ καὶ ἐλευθερίαν ἔχομεν, ἀλλὰ φυλακὴ τὸ φρούριον ἔοικε. τὴν δὲ πρᾶξιν ἡμῶν, ἣν ὁ παρὼν ἐπιφέρεται ἱερεύς, ἐπέλθετε καὶ ὑμεῖς, καὶ εἰ μὲν δικαίως ἀπολύει τὸν ἱερέα τῆς τοῦ μὴ λειτουργεῖν ἐπιτιμήσεως, συνευδοκήσατε τῷ ἀκωλύτως τοῦτον ἱερουργεῖν· εἰ δ' ἄλλο τι δόξει 10 ὑμῖν, γνωσθήτω μοι τὸ αἴτιον τῆς τοῦ ἱερέως ἐποχῆς. ἐμοὶ δὲ δοκεῖ, ὡς ἐὰν οὕτως ἔχωσι τὰ κατ' αὐτόν, ὥς μοι προεξηγήσατο, ἀνεύθυνον εἶναι τὸν ἄνθρωπον· τὰ γὰρ παρὰ τῶν ἐξουσιαζόντων πρὸς τοὺς ὑπ' αὐτοὺς ὄντας, καὶ ταῦτα ἐν ἡλικίᾳ τῇ ἀτελεῖ καὶ γινόμενα καὶ πραττόμενα, οὐδεμίαν ἐπιφέρουσι βλάβην τοῖς ὑπεξουσίοις. καὶ τέως ἀποκρίνασθε πρὸς τὴν ἐνυπόγραφον 15 πρᾶξιν, ὅτι ..... ἐπίσκοπος ἐξετασάτω, εἰ οὕτως ἔσχε τὰ τῆς ὑποθέσεως τοῦ πρεσβυτέρου, ὡς ἐξηγήσατο. καὶ πάντως μετὰ τὴν ἔρευναν, εὑρεθέντος οὕτω τοῦ πράγματος, ἀναμφίλογος ἡ τοῦ ἱερέως ἔσται ἀπόλυσις. αἱ ἅγιαι ὑμῶν εὐχαὶ μετὰ τῆς ἡμῶν οὐθενότητος +

75

[Der Eingang fehlt.]

Bl. 54 a ἐγὼ δ' οὐκ εἰμί· εἰ γοῦν θέλεις ἐμὸς ἀδελφὸς εἶναι, ἐκεῖνα γράφε κἀκεῖνα λέγε, ὅσα τὸν ἀδελφὸν οὐ παραλυπεῖ διὰ τὸ ἀνάληθες· μᾶλλον μὲν οὖν ἐμοὶ ταῦτα πρέπει περὶ σοῦ λέγειν, τοῦ παρακαθίσαντος λόγων ἀθολώτῳ πηγῇ καὶ ποταμῷ βαθυῤῥόῳ θείας καὶ ἀνθρωπίνης παιδεύσεως· βίου δὲ πέρι, τί χρὴ καὶ λέγειν, ὁπόσον ἐκεῖνος πάντας ὑπερηκόντισεν; ἐπανελθὼν δ' ἐκ Βονδίτζης καὶ 5 καταπεσὼν ἐν ἀγρῷ οὔτε τὴν Ναύπακτον εἶδον ἔτι, οὔτε τὰ ἐν ταύτῃ ἐπεσκε-

74 [10] ἄλλ' ὅτι — [16] So in dem Kodex eine leere Stelle für ungefähr fünf Buchstaben

*ψάμην τάχα ἐμά· ὃ δὴ καὶ διωμιλησάμην σοι μετ' ἐμοῦ ὄντι. καὶ ὡς μὴ κε-
ναῖς χερσὶν ἐπανέλθῃ οὗτος ὁ σός, κομίζει σοι ἐμὸν ἐπιστήθιον, ὅπερ εἶδες
φοροῦντά με. καὶ μὴ ἀπαξιώσῃς τὴν τούτου περιβολήν, μᾶλλον μέντοι καὶ
10 ἁγιάσεις, οἶδα τοῦτο, τῇ ψαύσει τοῦ σοῦ χρωτός. ἐπικομίζει καὶ ὑφάσματος ὁμο-
χρόου τεμάχιον, ἀρκέσον εἰς περίβλημα ποδῶν, καθειμένον εἰς σφυρὰ ἐκ μη-
ρῶν καὶ εἰς ἐνθήκην τοῦ τῶν τριχῶν διαλυτηρίου, στλέγγιστρον αὐτὸ οἱ κομ-
ψότεροι λέγουσι, κτένιον δὲ οἱ κατ' ἐμὲ ἀμαθεῖς· τοσοῦτον δὲ τοῦτο, ὅτι, μὰ
τὴν ἱεράν σου ψυχήν, παρ' ἡμῖν οὐχ εὕρηται πλέον· ὃ δὲ ζητεῖς, ἴσως κἀ-
15 κεῖνο κατὰ καιρὸν χαρισθήσεται, πάντως γενομένων ἡμῶν ἐν περισσείᾳ τοιού-
του. τῷ δὲ Φαρσάλων περιτυχών, εἰπὲ στεῖλαί μοι ὅπερ ἔχει ἐμὸν μουλάριον,
ἵνα μὴ μετὰ λύπης ἀντιστρέψῃ αὐτό· ἀλλὰ καὶ τῷ ἡγουμένῳ τοῦ Ἱλαρίωνος,
ὅτι μάτην θορυβῇ, πάτερ, καὶ καταπωλεῖς τὰ τῆς μονῆς δι' ἐμέ. μᾶλλον μέν-
τοι καὶ μέμφομαί σε, ὡς μὴ ἀναζητήσαντά με ἢ διὰ σεαυτοῦ ἢ διά τινος τῶν
20 σῶν, καὶ τοῦτό ἐστι τὸ βοηθεῖσθαι ἄλλῳ ὑπὸ θεοῦ, ἐκεῖνον δὲ ἀποκρούεσθαι
τὴν βοήθειαν. ἡ χάρις τοῦ θεοῦ μετὰ τῆς σῆς ἀδελφότητος.*

76

[Ohne Adressatangabe.]

Οὐκ ἐσμὲν τοιοῦτοι, πανιερώτατε μοναχέ, οἵους γράφεις ἡμᾶς· ἀλλ' ἐξ ἀδελ- Bl. 54
*φικῆς ἀγάπης κινούμενος γράφεις ἃ γράφεις περὶ ἡμῶν. ἡμεῖς γὰρ ἕνα τῶν
πολλῶν ἡγούμενοι ἑαυτούς, οὔτε πρῶτον οὔτε νῦν μεῖζόν τι περὶ ἡμῶν ἐφρο-
νήσαμεν· θέλημα δὲ ἔχουσιν οἱ ἄνθρωποι, ὥσπερ καὶ σύ, λαλεῖν περὶ ἡμῶν
5 ἀγαθά. οὐκ ἔδωκα δέ σοι καὶ τῆς ἐμῆς διελεύσεως εἴδησιν, ὅτι κατα||παθὴς* Bl. 54
*ὢν καὶ μετὰ κραββάτου φερόμενος καὶ περιποιούμενος καὶ τοὺς βαστάζοντάς
με, ἵνα μὴ ἀργῶσι, καὶ τοῦ καιροῦ στενοῦ γενομένου καὶ κατεπείγοντος, ἵνα
μὴ καὶ σὲ σκύλλω ἐν τοιαύτῃ ἡμέρᾳ ἐκ τῆς ἐκκλησίας σου καὶ τοῦ κελλίου
σου, παρῆλθον ἐν σιγῇ. ἄλλως τε θέλων ἰδεῖν σε καὶ συγγενέσθαι σοι ἐν ἡμέ-
10 ραις, οὐκ ἔκρινα δίκαιον εὐθύωρον ἐντυχεῖν σοι καὶ ἀπαλλαγῆναι ἐν ἀκαρεῖ.
ἐταμιευσάμην δὲ τὴν ἔντευξιν μετὰ τὸ ἅγιον πάσχα· τότε γάρ, εἰ ἐπιζήσω,
καὶ εἰς τὸ Γοβλάστι καὶ εἰς τὸ Ἀγγελόκαστρον ἐνωθήσομαί σοι· καὶ συλλου-
σώμεθα καὶ συμφάγωμεν καὶ συμπίωμεν καὶ ἐπὶ καιρὸν συνεσόμεθα. δέομαι
γὰρ ἀδελφικῆς παρακλήσεως, ἔχων ἐκ πολλῶν λυπηρῶν κατώδυνον τὴν ψυχήν.
15 καὶ περὶ μὲν τούτων, ἐς τόσον. τὸ ἐκ δερμάτων ἀλωπήκων περιβόλαιον ἐκομί-
σθη μοι· ἀνεφωνησάμην σοι ἐκ τρίτου· ὁ οἶνος ἔκκριτός μοι ἐφάνη γευσαμένῳ
καὶ ἀνθοσμίας· καὶ μή ποτε ἐξ ἐκείνου ἐστὶ τοῦ μεταδοθέντος ἐν τῷ Δείπνῳ
τοῖς μαθηταῖς, καὶ τοῦτό ἐστι τὸ αἷμά μου, εἰρηκότος ἐκείνοις τοῦ
Διδασκάλου. ὅθεν οὐδὲ ἡμῶν ἄξιος ὁ οἶνος οὗτος, ἀλλὰ βασιλέων καὶ με-
20 γιστάνων +*

75 [7] *δϊομιλησάμην* — [11] *τεμμάχιον* — [12] *στέγκϊστρ(ον)*
76 [1–2] *ἐξαδελφικ(ῆς)* — [8] *σκύλω* — [10] *ἀκαρὶ* — [12] *Γοβλα*ς — [15] *ἀλωπ(ικ)(ῶν)*

77

[Ohne Überschrift.]

Bl. 57a *Ἀναζητεῖ σε ὁ λόγος μου, τὸν βασιλέα μου, τὸν δεσπότην μου, ἡ δέ γε ψυχή, τὴν νύμφην μιμουμένη τοῦ Ἄσματος, ἐρωτᾷ σε, ποῦ μένεις, ὁ νυμφίος; ποῦ κοιτάζεις ἐν μεσημβρίᾳ τούτοις δὴ τοῖς θερινοῖς καταστήμασιν, ὅτε βάλλων ὁ ἥλιος ὑπὲρ κεφαλὴν τὴν ἀκτῖνα καὶ τὸ μεσουράνημα φαίνων καὶ τῆς σφαίρας διατρέχων τὸ κύρτωμα τὰς μὲν ἡμέρας μακροτέρας ποιεῖ, ἀνιμᾶται δὲ* 5 *τὰς ὑγρότητας καὶ ξηραίνει τὴν γῆν καὶ ποιεῖ τὸ περιέχον φλογῶδες καὶ τὴν ἐν τοῖς ζῴοις φυσικὴν ἰκμάδα διαφορεῖ καὶ διψαλέα μὲν ἀναλόγως τὰ σώματα τίθησιν, ἐκ τοῦ ἀκολούθου δὲ καὶ ἀμενηνὰ διὰ τὴν ἔκλυσιν τῆς ὑγρότητος; ὅτε γοῦν τοιοῦτος καύσων ὁ ἥλιος καὶ θερμὸν ἀέρα εἰςπνέομεν καὶ τρέχομεν ἐντεῦθεν ὑπὸ σκιὰν καὶ πηγὴν καὶ ψυχάζομεν ὑπὸ δένδρον καὶ τῆς* 10 *πηγῆς ἀρυόμεθα καὶ τὸ τῆς ἀλέας πολὺ ἐκκρουόμεθα, πῶς αὐτὸς ὁ ἀκάμας, ὁ καρτερικός, ὁ φερέπονος, ταῖς τῶν ἀέρων μεταβολαῖς καὶ ταῖς ἐναντίαις ἀπομάχῃ ποιότησι; καὶ θέρους μὲν ὑπομένεις τὴν φλόγα, χειμῶνος δὲ διακαρτερεῖς ἀγριότητα, ὡς ἂν εἰ καὶ ξένη φύσις ἐπλάσθης καὶ ἀνδριάντος καρτερίαν ἐπλούτησας; καίτοι ἐκεῖνος ἐξ ὕλης ὁποιασοῦν στερεᾶς τεχνηθεὶς τῷ ἀψύχῳ* 15 *καὶ ἀναισθήτῳ τῆς ὑπομονῆς ἐκφεύγει τὸν ἔπαινον. ἄνθρωπος δὲ πλασθεὶς ἐκ χοὸς καὶ θείῳ ψυχωθεὶς ἐμφυσήματι, ὡς ἂν καὶ χοῦς τῷ ἐμψυχώματι τιμηθῇ καὶ τὸ σῶμα ταῖς ψυχικαῖς ἐνεργειαις εἰς ὄργανον γένηται, καὶ δόξαν οὕτω τῇ φύσει καὶ τοῦ αἰσθητικοῦ ἀπαιτοῦντος χαυνοῦσθαι θέρει, ὑπείκειν χειμῶνι, κόποις ἐνδιδόναι καὶ πόνοις, τοῦτο δὴ τὸ σῶμα μηδενὶ τῶν λυπούντων.* 20 *θέρος δὲ καὶ χειμὼν τὸ σῶμα παραλυπεῖ, μηδενὶ τῶν κακούντων, πόνος δὲ καὶ κόπος τοῦτο κακοῖ, μηδενὶ τῶν θεραπευόντων, ἄνεσις δὲ καὶ τρυφή, τὰ σώματα θεραπευτικὰ καὶ ὅσα ἕτερα οἰκειοῦντες ἄνθρωποι θελκτήρια ἔχομεν, τοῦτο δὴ ἄκαμπτον ὂν ἐν ταῖς μεταβολαῖς τῶν καιρῶν, ἀχείρωτον ταῖς ἀνέσεσι, κόποις καὶ πόνοις καὶ ἀγρυπνίαις ἀδούλωτον. οὐκ οἶδα, εἴ τις ἔπαι-* 25 *νον προσοίσει τούτῳ τὸν ἄξιον, κἂν εἰ καὶ δέκα στόματα κατὰ τὴν ῥαψῳδίαν πλουτήσῃ, κἂν εἰ καὶ γλώσσας ἰσαρίθμους λάβῃ τοῖς στόμασιν, ὡς ἔγωγε, τοῦτο μόνον εἰςφέρω τῷ τοιούτῳ σώματι ἁρμόζον ἐγκώμιον, τὴν τῶν ἐπαίνων ἀδυναμίαν. ἔστι δὲ μεγίστη τῷ ἐγκωμιαζομένῳ ὑπόθεσις τὸ μὴ τοὺς λόγους ἐξισοῦσθαι τοῖς πράγμασι δύνασθαι, μηδὲ τοὺς ἐπαίνους τοῖς κατορθώ-* 30 *μασιν· ἀλλὰ σὺ μέν, ὦ βασιλεῦ καὶ σῶτερ ἡμέτερε, τοσοῦτον τὸ ὑπομενετικὸν καὶ τὸ καρτερές, τοσοῦτόν σοι καὶ τοῦ σώματος τὸ πρὸς τὰ δυσχερῆ ἀνυπότακτον, καί σου τοῖς πόνοις παρατρυφῶμεν καὶ τοῖς ἀλγεινοῖς ἐνηδόμεθα. ἔδει δὲ καὶ ἡμᾶς, ὡς εἰς ἀρχέτυπον ἀφορᾶν τὴν σὴν καρτερίαν καὶ εἰκονουργεῖν ἑαυτοῖς καὶ μιμεῖσθαι τοὺς ὀξυπτέρους, οἳ τὰ γενναιότερα τῶν ὀρνίθων* 35 *εἰς θήραν τοῖς ἀετοῖς ἀπολείποντες, αὐτοὶ τὰ μικρὰ στρουθία θηρεύουσι καὶ περίγεια, καὶ τὸ ὅλον οὐκ ἀχρηστεύουσιν, ἀλλὰ καὶ τοῖς κυρίοις καὶ ἑαυτοῖς τὴν δυνατὴν κυνηγεσίαν προσάγουσιν. ἔδει γοῦν οὕτω ποιεῖν ἡμᾶς καὶ μὴ σκια-*

77 [8] *ἔκλησιν* — [11] *ἀρρυόμεθα* — [15] *στερρεᾶς* — *τεχνΐθεὶς* — [17] *ἐνφυσήματι*

τραφεῖσθαι τὸ ὅλον καὶ παντελῶς γυναικίζεσθαι καὶ καταδιώκειν μόνα τὰ ἡβη-
40 τήρια, ὅτε καὶ ταῦτα σύγχυσις κοσμικὴ καὶ φορὰ πραγμάτων ἀνώμαλος,
ἀλλ' ἔστιν οὗ || καὶ πόνων ἐν τῷ μέρει στρατιωτικῶν ἀντιλαβέσθαι, μὴ μέν- Bl. 57 b
τοι ἀκτὰς τὰς θαλασσίους περισκοπεῖν καὶ συλλέγειν ἐκεῖθεν στρογγύλα
βωλάρια, ὅσα τῇ θαλασσίᾳ φορᾷ μεταφερόμενα καὶ μετακινούμενα στρογγύλ-
λονται μὲν ἐκ τῆς παρατρίψεως, εἰς παίγνια δὲ τοῖς κοριδίοις ἐπισωρεύονται,
45 μήδ' ἀναπετάζειν ταῦτα πρὸς τὸν ἀέρα καὶ τὴν παλάμην μετάγοντας τὴν κατα-
φορὰν τῶν ἀναῤῥιφέντων δέχεσθαι τῷ καρπῷ καὶ τῷ πλείονι τοῦ ποσοῦ τὴν
νίκην ἐπιμετρεῖν, τῷ δὲ καταχθέντων ὀλιγοδόχῳ τῷ ἀντιπαίζοντι τὴν ἧτταν
ἐπιψηφίζεσθαι καὶ τύπτειν οὕτω κονδύλοις περὶ τὸν πῆχυν τοῦ ἡττηθέντος·
καὶ ταῦτα μὲν ὅλης διαπαίζειν ἡμέρας, νυκτὸς δὲ χοροῖς περιλορδοῦσθαι καὶ
50 περιστρέφεσθαι, καὶ ἄμφω ταῦτα ἐπὶ νυκτῶν ἐνεργεῖν, λαμπαδουχίαν καὶ χο-
ραυλίαν. καί που καὶ ὀργὴν ἐπάγειν ἀκάθεκτον ὅσοις καὶ ὅσαις εἰς κόρον ἔφθα-
σε τὸ βωλοπονεῖν καὶ τὸ περὶ χοροὺς ἐθίζεσθαι πάννυχα· μηδὲ περὶ τῶν γυ-
ναικείων κόσμων ἀσχολίαν τρέπειν τὴν πᾶσαν καὶ συνάγειν ἀργυροκόπους καὶ
τυραννεῖν τὸν χρυσὸν εἰς ἐνώτια καὶ στρεπτοὺς καὶ καταμάργαρα περιδέραια
55 καὶ πόνον ἔχειν τὸν πανημέριον εἰς τὸ καταμαργαροῦν καὶ καταχρυσοῦν τὸ τῶν
ἀνίσων εὐθειῶν ἐμβαδόν, αἳ τοῖς γυναικείοις προσραπτόμεναι ἱματίοις τοὺς
πήχεις ἑκατέρους τῶν γυναικῶν τῇ τεχνικῇ παραθέσει καὶ τῇ ἐξάλλῳ αὐγῇ,
οὐ μόνον δέ, ἀλλὰ καὶ περὶ τὰ ἄλλα διαπονεῖσθαι, ὅσα ἐν πλέγμασιν, ὅσα ἐν γυ-
ναικείων ἐφεστρίδων λαμπρότησι. τὰ δ' ἐν ὀλιγωρίᾳ τιθέμεναι, ὧν τὴν χρῆσιν
60 καιρὸς ἀπαιτεῖ καὶ ἡ τῶν πραγμάτων κατάστασις ἐφέλκει πρὸς ἑαυτήν. ἀλλὰ
ταῦτα μὲν παιζέσθωσαν οἷς ἡ περὶ ταῦτα νεῦσις καὶ σπουδαζέσθωσαν, ἡμεῖς
δὲ συνταξάμενοι τῇ βασιλείᾳ τὰ εἰς τὴν Ναύπακτον, ὅλον μῆνα παρὰ καλύ-
βην ἐκαθέσθημεν καὶ πηγήν, μηδένα βλέποντες, ὑπὸ μηδενὸς βλεπόμενοι· ἐξε-
φωνήθη γὰρ τοῖς πᾶσι δεσποτικὸν ἐπιτίμιον, ὅσοις ῥάκος καὶ κουρὰ τριχῶν τὸν
65 βίον διίστησι, καὶ ὅσοις πατητὸν τὸ πολίτευμα, μὴ προσαγορείας ἀξιοῦσθαι τὸν
μητροπολίτην μηδὲ προσόψεως· καὶ φέρω τὴν ἐπιτίμησιν ἄχρι καὶ τῆς εἰκο-
στύος τοῦ τρέχοντος αὐγούστου μηνός, καί εἰμι ὡς μὴ ὤν, πρᾶγμα τοῖς φι-
λοσόφοις ἀποῤῥηθέν, τὸ ὂν ὡς μὴ ὂν καὶ τὸ μὴ ὂν ὡς ὂν ὑπολαμβάνειν ἀδύ-
νατον. ἀλλὰ καὶ φιλοσόφων δόξαι καινοτομοῦνται τῇ αὐτονομίᾳ τοῦ κρίνον-
70 τος. τὰ ἐμὰ ὑποζύγια, καὶ ἄσαρκα καὶ καταπλῆγα ἐκ τῆς ὁδοιπορίας γενό-
μενα, πολλάκις τῆς ἐν Ναυπάκτῳ νομῆς ἐδιώχθησαν· κατὰ συγχώρησιν δὲ
τῶν ἱπποκόμων καὶ ἔλεον, ἀλλ' οὐ κατὰ δεσποτικὴν εὐσπλαγχνίαν, συνεχωρή-
θησαν νέμεσθαι· ἐκεῖσε δέ, ὅπου πρῶτον ἵππος ἡ δεσποτικὴ νεμηθεῖσα καὶ
τὴν βοτάνην βρωμησαμένη ἄχρις εἰς ῥίζαν κόπρου μὲν ἐπλήρωσε τὸ πεδίον,
75 χλόης δὲ οὐδὲν ὑπελείπετο. χωρίδιον ὀλιγάνθρωπον ὑπὸ τὴν ἐκκλησίαν μὲν ὄν,
τῇ Ναυπάκτῳ δὲ παρακείμενον, πῦρ ἀνάψας κατεπυρπόλησεν, ὡς τοὺς ἐκεῖσε
τοιούτους οἰκτροὺς μετὰ τὴν καῦσιν ὁρᾶσθαι, ὁποίους τοὺς ἐκ ναυαγίου περι-
σωθέντας, καπνηροὺς τὴν ὄψιν, κεχρισμένους ἀσβόλῃ, φιλανθρώποις ὀφθαλ-

77 [39-40] ἡβητ(ή)ρ(ι)α — [41] ἀντιλάβεσθαι — [42] στρογγύλϊα — [47] ἥτταν — [59] ὀλϊγορΐα — [66] προσώψεως

μοῖς συμπαθείας ἀξίους· οἷς οὐ σῖτος ὑπολέλειπται, οὐ κριθή, οὐ τὸ ἐκ ψιαθίου ὑπόστρωμα, οὐκ ἄλλο οὐδέν, οὐδὲ ξυλίνη ἐγχώρησις, τοῦ πυρὸς τὴν πενιχρὰν οὐσίαν τῶν ἀθλίων καταφαγόντος. τοῖς ἁλιεῦσι τῆς ἐκκλησίας οὐκ ἀπολέγει μὲν τὸ ὀψώνιον, τὸν εἰς τὴν ἄγραν δὲ πλοῦν ἐσβατὸν αὐτοῖς γενέσθαι οὐ συγχωρεῖ, ἂν μὴ τῇ τοῦ δεσπότου τραπέζῃ ἐπιμετρῶσιν ἡμερησίους ἰχθῦς. ταῦτα, δέσποτά μου καὶ βασιλεῦ, καὶ πλείω τούτων καὶ χείρονα, οἱ καρποὶ τῆς μακρᾶς ἐκείνης παραγγελίας καὶ τοῦ χρυσοβούλλου ἡ δύναμις + (80, 85)

78

Bl. 60 a

Τῷ ἁγιωτάτῳ Λαρίσσης +

Θερμοποτήσαντες ἐν τῇ πόλει σου τὴν γαστέρα ἐφθάρημεν καὶ γεγόναμεν ἐς τόσον ἀμενηνοί, ὡς μηδ' ἀποκαταβῆναι τῆς κλίνης δύνασθαι. εἰς τί δέ μοι ἔκειτο ἰδεῖν τὴν Φθίαν χρονίως καὶ φθίσιν ὑπομεῖναι κοιλιακήν; οἶδα μὲν γὰρ αὐτὴν ἐριβώλακα, οἶδα μητέρα μήλων καὶ ἐπαινῶ τὴν θέσιν, τὸν πλατυσμὸν (5) αὐτῆς ἀποδέχομαι, τὸ εὔβοτον, τὸ εὔμηλον, τὸ πολύπυρον. εἰ δὲ καὶ οἰνοπληθής, σὺ ἂν εἰδείης ὁ προστατῶν ἐν αὐτῇ· εἰ δὲ καὶ ψυχροτέρων ὑδάτων ἦν μήτηρ καὶ ἀναδοτικὴ τοιούτων ποτῶν, ἦν ἂν πεδίον ἠλύσιον· νῦν δὲ χόρτον μὲν δασὺν ἀνατέλλει τοῖς κτήνεσι καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων παχεῖαν. ψυχὴν δὲ διψῶσαν οὐκ ἐμπίπλησιν ὕδατος· καὶ τὸ ἐκ βίας πινόμε- (10) νον κεῖται κατὰ γαστέρα καὶ στρέφεται πλημμελῶς καὶ οὐκ ἀναδίδοται εἰς ἀνάψυξιν, τῷ φυσικῷ θερμῷ μὴ εὑρισκόμενον ἐναντίον διὰ ψυχρότητα, ἀλλὰ συγγενές πως αὐτῷ, διὰ τὴν θερμοτέραν ποιότητα. ἐντεῦθεν ἔστι πίνειν ἀεὶ καὶ διψᾶν ἐσαεὶ καὶ δράκαιναν διψάδα τὸν πίνοντα γίνεσθαι, οὐχ ὡς ἐμποιοῦντα μέντοι δίψαν ἑτέροις, ἀλλ' ὡς αὐτὸν κατὰ τοὺς ὑπ' αὐτῆς δακνομέ- (15) νους ἀεὶ διψῶντα καὶ πάντοτε πίνοντα καὶ μένοντα ἐν τούτῳ πάθει, τῷ τοῦ διψῆν. καὶ τοῦτο καινόν, ὅτι παροικῶ ποταμῷ καὶ πάσχω τὸ τοῦ Ταντάλου. περὶ μὲν τούτων ἐς τόσον, ἵνα μὴ πλείω λέγων λυπῶ σε, ὃς καὶ ὢν ἀπὼν τὸ πρὸς ἡμᾶς ἐνδείκνυσαι προμηθές, καὶ μέρεσιν ἰχθύων ὀπτῶν ἡμᾶς δεξιοῖ, εἰ δὲ μὴ καῦμα ἦν, τάχ' ἂν καὶ ἀπὸ μελισσείου κηρίου ἐφιλοφρονήσω τὸν ἀδελ- (20) φόν. ἀλλ' ἐγὼ τὴν ὅλην ταύτην τρίτην καὶ ἀπότιστος ἀνύσω καὶ ἀβρωμάτιστος· εἴωθα γὰρ τὰς ὁτεδήποτε βλάβας τῷ καλῷ, τῇ νηστείᾳ, θεραπεύειν φαρμάκῳ· χαρίζου μοι καὶ εὐθυμῶν καὶ πολυχρονῶν.

79

Bl. 63 a

Τῷ κραταιῷ βασιλεῖ +

Ἐξέκρουσε τοῦ κατ' αὐτὸν ἁγιωτάτου κελλίου, δέσποτά μου καὶ βασιλεῦ, καὶ γυμνὸν καὶ ἀπέριττον, καὶ τὸν ἐν τοῖς πράγμασιν ἐνδέξιον πατέρα μου, τὸν

77 [80] *ἐγνήρϊσ(ις)* — [85] *παραγγελεί(ας)*
78 [6] *πολύπηρον*

Στειρίου, ὁ τῆς λατινικῆς ἐπηρείας βίαιος πάσσαλος. εἰ δὲ πολλὰ καὶ οὗτος
5 τοὺς Λατίνους ἀντεπασσάλευσε τῇ κατ' αὐτὸν πραγματικῇ δεξιότητι, ἀλλ' ὅμως
ἴσχυσεν ὁ ἐκείνων καὶ τῆς ἰδίας κέλλης τοῦτον ἐξήγαγεν. ὃ γοῦν λειπόμενον
ἦν, τὸ πρὸς τὴν σὴν βασιλείαν τοῦτον ἀναδραμεῖν, αὐτὸ τοῦτο κατὰ ἀριστο-
βουλίαν ἐποίησε πάντως γνοὺς καὶ μαθών, ὡς ὁ ἐμὸς αὐθέντης καὶ βασιλεὺς
τὰ πρὸς ἀνάπαυσιν αὐτοῦ καὶ ζωὴν μετὰ βασιλικῆς φιλοτιμίας ἐκπερανοῖ. καὶ
10 δέομαί σου μὴ στραφῆναι τὸν γέροντα τεταπεινωμένον, κατῃσχυμμένον. τίς δὲ
καὶ ἄλλος ὤφθη τῷ προσώπῳ τῆς βασιλείας σου καὶ οὐκ εὐηργετήθη βασι-
λικῶς; καὶ ὡς ἐξ Ὠκεανοῦ πᾶσαι μὲν πηγαί, πάντα δὲ φρέατα, εἴ τι πει-
στέον τῷ περιηγησαμένῳ τὴν γῆν, οὕτω κἀκ τῆς σῆς βασιλείας παντοίων
εὐεργετημάτων ἀπόρροιαι. καὶ χαρίζου μοι, μέγιστε βασιλεῦ, πᾶσιν ἡμῖν σω-
15 τήρ, πρόμαχος, εὐεργέτης, πλουτοποιός.

80

Τοῦ αὐτοῦ [Ἰωάννου Ναυπάκτου] εὐχὴ πρὸς τὸν βασιλέα + Bl. 63

Ὁ στερεώσας ἐν σοφίᾳ τοὺς οὐρανοὺς καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἑδράσας, ὁ διὰ
Μωσέως μὲν τὸν Ἀμαλὴκ τροπωσάμενος, διὰ δὲ Ἰησοῦ τοῦ Ναυῆ τὸν Σηὼν
καὶ τὸν Ὢγ, βασιλεῖς κραταιούς, διὰ δὲ Γεδεὼν τοὺς Μαδιηναίους, διὰ δὲ Δαυὶδ
5 τοῦ παιδὸς αὐτοῦ τὰ μυρία κατεργασάμενος τρόπαια, αὐτὸς ὑποτάξοι καί σοι
τῷ βασιλεῖ ἡμῶν καὶ δεσπότῃ πάντα ἐχθρόν, πάντα πολέμιον, καὶ τόξον θείῃ
χαλκοῦν καὶ τοὺς βασιλικούς σου βραχίονας καὶ τοῦ ὑποτεταγμένου σοι φι-
λοχρίστου στρατοῦ· καὶ διδάξοι τὰς χεῖρας ὑμῶν εἰς παράταξιν καὶ τοὺς δα-
κτύλους εἰς πόλεμον, ὡς ἐνώπιον τῶν ποδῶν σου τοὺς ἐχθρούς σου πεσεῖν,
10 καὶ χοῦν αὐτοὺς λεῖξαι, καὶ δοῦναί σοι νῶτα καὶ τὴν ὁρμήν σου κατ' αὐτῶν
πῦρ αὐτοῖς λογισθῆναι κατακαῖον καὶ ἀφανίζον. γένοιτο ταῦτα ἐν Χριστῷ
τῷ θεῷ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

81

[Ohne Überschrift.]

Πανιερώτατε Λευκάδος, ἐν Κυρίῳ ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ. ἐλπί- Bl. 64
ζομεν εἰς θεὸν ὑγιαίνειν τὴν ἁγιωσύνην σου· καὶ ἡμεῖς ζῶμεν καὶ ἀνακτώ-
μεθα τοῦ κόπου, ὃν ὑπεμείναμεν καταβαίνοντες ἀπὸ Θεσσαλονίκης εἰς Ναύ-
πακτον. πρὸ καιροῦ δὲ ἠξίωσα τὴν ἁγιωσύνην σου ἐπὶ πάσῃ σου πράξει
5 προσοχὴν ἔχειν καὶ ἐπισκοπικὴν ἀκρίβειαν καὶ συντήρησιν· καὶ νῦν πάλιν περὶ
τούτου καὶ γράφω καὶ ἀξιῶ. ἐξ ὧν δὲ ἀκούω παρά τινων κληρικῶν σου, φαί-
νεται, ὅτι οὔτε νομοκάνονον λαμβάνεις εἰς χεῖράς ποτε, οὔτε μετὰ συντηρή-

79 [5] πραγματ(ικ)ῇ
80 [2] ἑδράσ(ας) — [4] Μαδιηνέους
81 [2-3] ἀνεκτώμεθα — [3] Θεσ(σαλο)ν(ίκ)(ην)

σεως ποιεῖς, ἃ ποιεῖς· καὶ φοβοῦμαι μὴ κινηθέντων εἰς τὸ μέσον τῶν λαλουμένων καὶ ἀληθῶν εὑρεθέντων, ἀγανακτήσωμεν πολλά, ἐξελέσθαι σε τῆς κανονικῆς κατακρίσεως. ποῖος ἐπίσκοπος αὐτοχειρὶ δαίρει κληρικούς; ποῖος 10
πιπράσκει τὰ τῆς ἐκκλησίας ἄνευ εἰδήσεως συνοδικῆς; τίς ἐπίσκοπος ἀφωταγώγητον τὴν αὐτοῦ ἐκκλησίαν καταλιμπάνει καὶ ταῦτα ἱκανὴν κηρίου πρόσοδον ἔχουσαν; τὸ δὲ παραθεωρεῖν σφάλματα ψυχικὰ καὶ αἱμομιξίας παραχωρεῖν διὰ δῶρα, ποίας ἐπισκοπικῆς ἐπιμελείας ἐστί; τὰ δὲ ἄλλα ἄκαιρον ἡγησάμην γράφειν. ἐγὼ τέως ὁ χειροθετήσας σε καὶ μέριμναν ἔχω περὶ σοῦ, 15
καὶ τὸ ἀκατηγόρητόν σου θέλω· καὶ ἀξιῶ σε στραφῆναι εἰς τὸ περικείμενόν σοι ἀξίωμα, τὸ γῆρας, τὴν πολιάν, τὸν ὀλίγον τῆς ζωῆς ἡμῶν χρόνον, τὸν θάνατον, τὴν ἐν τῇ κρίσει ἀπολογίαν καὶ τῶν πεπραγμένων ὑφ' ἡμῶν καὶ τῶν παραβλεπομένων ἐξέτασιν. καὶ εἰ μὲν ψευδῆ τὰ ἀκούσματα, ἔχεις μισθὸν ῥήματα ψευδῆ καταδεχόμενος, εἰ δὲ ἀληθῆ, ἔλπιζε καὶ δικαστήριον καὶ ἐξέ- 20
τασιν, καὶ μὴ λέγε τίμησιν ἔχει εἰς ἐμὲ ὁ μητροπολίτης. γινώσκεις γὰρ ἅπερ ἀπὸ τοῦ βασιλικοῦ στόματος εἰς τὸν Βαρδάρην ἤκουσας, καὶ οἱ προχειρισάμενοί σε συναδελφοὶ δύνανταί σε καὶ κρίνειν, ἐὰν τέως ἀληθείας ἔχωνται τὰ λαλούμενα. πλείονα ὤκνησα γράφειν· σὺ δὲ παρακύψας εἰς τὸν ἐντὸς ἄνθρωπον, εἴ τι μὲν ψευδές, παράδραμε, εἴ τι δὲ ἀληθές, διόρθωσε· καὶ ἀπάλλαξον ἡμᾶς 25
μὲν φροντίδος τῆς ἐπί σοι, σαυτὸν δὲ τοῦ ἐκ τῶν ἀνθρώπων κατεγκλησμοῦ. ἡ ἁγία σου εὐχὴ μεθ' ἡμῶν +

82

Bl. 64 b

Τῷ κραταιῷ βασιλεῖ +

Ὁ παρών, μέγιστε βασιλεῦ, εἴτε καθαρός ἐστιν αἴλουρος, εἴτε μικτός, περὶ τούτου τέως οὐ χρεία ζητεῖν, πλὴν ὅτι εἷς ἦν καὶ οὗτος ὡς οὗτοι τῶν ἐν Ναυπάκτῳ φρουρῶν, καὶ χρόνους ἤνυσεν ἐν αὐτῇ περίπου τοὺς εἴκοσιν· εἶτα ἔκ τινων ἀναγκῶν καταλιπὼν τὴν φρουράν, καὶ λεγέτω οὗτος τοὺς τῆς ὑποχω- 5
ρήσεως τρόπους, πρὸς τὴν ἀντίπορθμον ἡμῶν διεπλωΐσατο Πάτραν, καὶ μετ' ὀλίγον αὖθις μετήνεγκεν εἰς Ναύπακτον, ἐλπίζων καὶ ἐπὶ τῆς τὰ πηδάλια φυλακῆς αὐτοῦ στῆναι καὶ ἐπὶ τοῦ προτέρου ἀποκαταστῆναι μισθοῦ. οὐ προσεδέχθη δὲ παρὰ τοῦ σοῦ αὐταδέλφου. καὶ ἂν κατέλεξα ἔγωγε τὰς εὐλόγους ἀφορμὰς τῆς εἰς Πάτραν ἐνδημίας αὐτοῦ, εἰ μὴ μακρολογεῖν τε ἔμελλον καὶ 10
τὸ πᾶν ἀκαιρολογεῖν, ὡς ἐπιληψίμων ἐξηγητής. οὗτος δὲ καθαρῶς ἑλληνίζων, αὐτὸς ἐξαγγελεὺς ἐσσεῖται τῶν κατ' αὐτόν. τοῦ προσληφθῆναι δὲ τοῦτον ἐξαῦθις ἐν Ναυπάκτῳ φρουρὸν παρὰ τοῦ αὐταδέλφου τῆς σῆς βασιλείας ἐν ἀνελπίστῳ κειμένου, τὸ λοιπόν ἐστιν εὐκατάληπτον, ὡς βασιλικῆς δηλονότι προσλήψεως ἐπιδέεται καὶ περιποιήσεως πάντως, τῇ παραδοχῇ ἀκολούθου. χαρί- 15
σαιτό μοι ὁ Κύριος τὸν βασιλέα μου πολυχρόνιον.

81 [23] *ἔχονται*
82 [2] *ἔλουρος* — [4] *εἴκοσι* — [12] *ἐσεῖται*

83

[Ohne Überschrift.]

Πανιερώτατε Βοθρωτοῦ καὶ ἐν Κυρίῳ συναδελφέ· εἴ τι δύνασαι, βοήθει μοι τῇ Bl.
ἀσθενείᾳ. οὐ μόνον γὰρ ἡ περὶ τὰ γόνατά μου ὀδύνη μικρὸν οὐκ ἐλώφησεν, ἀλ-
λὰ καὶ περὶ τὰ πέλματα κατέβη τὸ πάθος· καὶ τὴν γῆν πατῶν, οὐ στεῤῥῶς μὲν
οὐδὲ ἑδραίως, πατῶν δὲ ὅμως, νῦν καὶ τὸ κεκουφισμένον πάτημα ἐκεῖνο ἀπεβα-
5 *λόμην καὶ βίον ἕλκω ἐνώδυνον. ἀλλὰ σύ με τῷ μοχλίῳ τῶν σῶν προσευχῶν τῆς*
κλίνης ἀνέγειρε. ὡς γὰρ ὁρῶ, ψευδὴς ἡ ἐξ ἀνθρώπων ἐπικουρία. φήμης δὲ ἐλ-
θούσης εἰς ἐμὲ παρὰ Δρυϊνοπολίτου διακόνου τὸν καλὸν ἀποβιῶναι Ἰωαννίνων,
στεῖλον γνώμην σου πρὸς τὸν Βελᾶς· ἐκείνῳ γὰρ ἔγραψα μετὰ τῆς αὐτοῦ καὶ
τὴν σὴν καὶ τοῦ Δρυϊνουπόλεως στεῖλαί μοι· πλήν, τὸ τάχος, ἵνα μὴ πάλιν ἡ
10 *βασιλική με δυναστεία βιάσηται. ἡ ἁγία σου εὐχὴ μεθ' ἡμῶν +*

84

Πρὸς τὸν βασιλέα + Bl.

Ἅγιε δέσποτά μου καὶ θεοκυβέρνητε βασιλεῦ, εὐοδοῦ ἀπὸ Κυρίου καὶ κατευ-
θύνου καὶ καταπολέμει ἐχθροὺς καὶ ταῖς πόλεσί σου πόλεις προστίθει καὶ τοῖς
κατορθώμασί σου σύναπτε κατορθώματα καὶ αὔξανέ σου τὸ λάχος, τό σε καὶ
5 *μόνον γνωρίσαν ῥύστην καὶ προστάτην καὶ φύλακα. καί σοι μὲν οὕτω θεὸς δι-*
δοίη τὰ πράγματα. ἐμὲ δὲ τὸν σὸν εὐχέτην γίνωσκε, δέσποτά μου, πάσῃ ταλαι-
πωρίᾳ παλαίοντα σώματος καὶ τὸν χρόνον τοῦτον ἤδη τριπλούμενον, ἀφ' οὗ
ἐπανῆλθον ἐκ τῶν Σκοπίων, ἐκπολεμωθέντα μοι εὗρον καὶ πολλὰ ἐπάγοντά μοι
καὶ διάφορα τὰ νοσήματα, ἐπιβρῖσαν δὴ καὶ τὸ γῆρας ἐπὶ τὰς ἀσθενείας προς-
10 *έθετο· ἀλλ' οὐκ εἰς τέλος ἀθέατος αἰτοῦμαι τῇ βασιλείᾳ σου· ἐνισχύσει γάρ*
με θεὸς καὶ πρὸς αὐτὸν δραμοῦμαι καὶ τὰς βασιλικάς σου κατασπάσομαι
χεῖρας. ὁρισμόν σου δὲ προσκυνητὸν μετὰ τοῦ παρόντος δεξάμενος Μοσχο-
πούλου, παρακελευόμενον περὶ τῆς ἐπισκοπῆς Βελᾶς ὅσα παρακελεύεται, τοῦ-
το μόνον ἀντιγράφω πρὸς τὸ παρόν, ὅτι ἐβράδυνεν ἡ ἐνθύμησις εὐτρεπισθέν-
15 *τος ἑτέρου πρὸς τὴν αὐτῆς ἐπισκόπησιν. ὅμως δέ, δέσποτά μου, ἐπεὶ ψῆφος*
μέλλει προβῆναι, μνησθησόμεθα καὶ τοῦ ἱερέως καί, ἂν ἐπ' αὐτῷ ὁ θεὸς εὐδο-
κήσῃ, φθόνος οὐδείς. τέως, δέσποτά μου, χθὲς ἐποίησα ἐξ ὁρισμοῦ σου Ἰωαν-
νίνων ἐπίσκοπον καὶ σήμερον πάλιν περὶ ἑαυτὴν ἡ βασιλεία σου καὶ ταύτην
ἕλκει τὴν ἐκκλησίαν· ἔοικε δέ, ὡς παντελῶς με ἀναλφάβητον ἔχεις καὶ διὰ τοῦ-
20 *το τοιούτους μοι διαπέμπεις, ὡς φίλον εἶναι τῷ ὁμοίῳ τὸ ὅμοιον. ταῦτα ὡς*
ἐν ἀστεϊσματι. πληροφορήθητι δέ, ὡς εἰσὶ καὶ ἕτεροι τοῦ ἱερέως σου κρείτ-
τονες κατὰ γνῶσιν τέως. ὃ δὲ προεῖπον, ἐὰν ἐπ' αὐτῷ εὐδοκήσῃ ὁ Κύριος,
ἐσσεῖται καὶ ὁ Ναυπάκτου τοῦ τῆς βασιλείας σου ὁρισμοῦ, ἣν καὶ ἀξιῶσαι με

83 [1] *βοήθη* — [4] *ἐδραίως* — [5] *ἐνόδυν(ον)* — *τῷ μοχλείῳ*
84 [6] *παλαίοντϊ* — [9] *ἐπιβρῖσ(αν)* — [16-17] *εὐδοκήσει* (so auch unten Z. 22) — [17] *ἐξορϊ-σμοῦ* — [23] *ἐσεῖται*

Κύριος ἐν τῷ κατὰ τὴν Μεγαλόπολιν βασιλικῷ θρόνῳ καθιδρυμένην ἰδεῖν καὶ τὴν ἐνδεχομένην ἀποδοῦναι ταύτῃ προσκύνησιν. 25

85

[Ohne Überschrift.]

66 b *Πανιερώτατε ἐπίσκοπε Ἰωαννίνων καὶ ἐν Κυρίῳ συναδελφέ· οὐκ εἰμι τοσοῦτον εὔκολος, ὡς ῥαδίως πιστεύειν τοῖς παρά τινων γραφομένοις. ἰδοὺ γὰρ καὶ ἡ ἁγιωσύνη σου ἔγραψέ μοι ἀποστεῖλαι τὸν παρόντα κληρικόν σου εἰς ἐπίσκεψίν μου· καὶ ὃν οὐκ ἐπεσκέψω ἐν τῇ Ναυπάκτῳ, ἀῤῥωστοῦντα καὶ θανατῶντα καὶ κατακείμενον, τοῦτον ἐν Φθίᾳ ἠθέλησας ἐπισκέψασθαι. ἔστω δὲ* 5 *τοιοῦτον, οἷον ἐγράφη. ἐγὼ δὲ τῇ χάριτι τοῦ θεοῦ καὶ ζῶ καὶ κρειττόνως ἔχω καὶ καταβαίνω εἰς Ναύπακτον· καὶ μετὰ τὸ ἐπισκέψασθαι τὰ ἐμά, ὄψομαι, εἴ γε καὶ ζῶ, καὶ Βόνδιτζαν καὶ Ἄρταν. ἐκεῖ γοῦν καὶ σοῦ γενομένου καὶ τοῦ κληρικοῦ σου τούτου καὶ τοῦ ἀντιδικοῦντος αὐτῷ, εἴ τι ἔνι δυνατὸν καὶ ἄμεμπτον, οἰκονομηθήσεται. ἀκούω δέ, ὅτι καὶ τῆς οἰκίας τῆς πενθερᾶς τοῦ πα-* 10 *ρόντος ἐπιλαμβάνεται· καὶ ἡμεῖς περὶ ὀσπιτίων ἕως τοῦ νῦν οὐκ ἠκούσαμεν. καὶ ἔστω ἡσυχάζων ὁ παπᾶς Ἰωάννης καὶ ἀπεχόμενος τούτων, ἕως ὅτου καὶ περὶ αὐτῶν ἀκούσομεν. ἔῤῥωσο ἐν Κυρίῳ +*

86

[Ohne Eingang.]

67 a *[ἥλιον φω]‖τίζειν τὰ ὑπὸ γῆν, σελήνην δὲ μὴ τὴν νύκτερον ζοφερίαν ὑπολευκαίνειν. ὁμοίως ἀδύνατον καί σε φιλίας ὄντα καὶ σελήνην καὶ ἥλιον, φίλοις μὲν μὴ τὸ τηλαυγὲς τῆς ἀγάπης ἀποδισκεύειν, τὸ δ' ἐν τοῖς πράγμασι σκοτεινὸν τῇ ὀρθοτομίᾳ μὴ διαλευκαίνειν τῶν κρίσεων. ἔχει δὲ ἡ προκατασκευὴ κειμένην ὑπόθεσιν τὴν περὶ ὅρων γῆς διαμάχην τῷ παροικικῷ τῆς τῶν Ἰωαννίνων* 5 *ἐπισκοπῆς καὶ τοῖς συνοροῦσιν ὑπὸ τὸν δημόσιον τούτῳ δὴ τῷ τοῦ μεγάλου ἀρχιστρατήγου παροικικῷ, καί σε τὸν καταστάντα τούτων διαιτητήν. λέγω γοῦν ἐπ' ἐλπίδι, ὡς οὐθ' ἡμεῖς ψευσόμεθα ἐπί σοι, οὔτε τὰ ἐκκλησιαστικὰ παρορισθήσεται ὅρια. οὐδέ γε ὁ διαιτῶν ἢ παρελεύσεται τὰ τεθέντα ἢ μὴ ὀροθετήσει δικαίως τοῖς μέρεσι. θαῤῥῶν οὕτω, πληρῶ τὸ γράμμα, ὡς μὴ τὴν ἐν* 10 *ἀρχαῖς ὑπόσχεσιν ψεύσωμαι. χαρίζου τοῖς φίλοις ἀπὸ θεοῦ πολυχρόνιος.*

87

[Fängt akephalisch an, da das Blatt, worin der Anfang des Schreibens stand, herausfiel.] [*1]

68 a *[πρόβα]τα βόσκεται· καὶ τὴν ἐκ θλίψεων ἐπιθήκην ὁ κατὰ Ναύπακτον τύραννος, οὗ πολλὰ μὲν τὰ νεανιεύματα καὶ ἰσχυρὰ τὰ φρυάγματα, μεῖζον δὲ ἡ*

85 [3] *ἔγραψαί μοι* — [11] *ὀσπητί(ων)*

[*1. Siehe oben, S. 35, Nr. 167 und unten Verbesserung Nr. 87.]

*καθ' ἡμῶν μανία καὶ ἡ Ναυπακτόθεν μεταβολή. καὶ ἤθελον, ὥς τινων πλουσίων θύρας ἐξέτριψα τὸ ἀπηγορευμένον ἐκ τῆς Γραφῆς, ἐκτρῖψαι καὶ τὴν
5 σὴν τοῦ σοφοῦ· ἀλλὰ σύ, σοφόν τι ἕτερον σοφισάμενος, αἰγίδα Διὸς ἡμῖν ἐπανέτεινας τοὺς πειρατάς, τοὺς ἐχθρούς· καὶ ὡσανεὶ παρατεμνόμενος τὸ ποιητικόν, πλείην κακῶν τὴν θάλασσαν ἡμῖν τῷ λόγῳ ὑπεζωγράφησας. μὴ μόνον ἀπὸ νηπίου τὸ ταύτην πλέειν ἀπεδιδάχθην, ἀλλὰ καὶ τὸ πόδα βαπτίζειν αὐτῇ καὶ ῥαστωνεύεσθαι, εἰς ἀπώμοτον· πλουσίως δὲ καὶ ἅπαξ καὶ δὶς ἡμᾶς
10 ἰχθύσι δεξιωσάμενος, οὐδ' ὅσους τὸ τοῦ Πέτρου συνέκλει δίκτυον, μᾶλλον δὲ ὁπόσους ἀνεῖλξαν τότε οἱ μαθηταί, εἰς τὰ δεξιὰ τοῦ πλοίου μέρη βαλόντες τὸ δίκτυον κελεύσει Χριστοῦ, τάχα τοῦτο ἐνέφηνας, ὡς ἰχθυοφαγήσαντες εἰς δαψίλειαν καὶ ἀπειπάμενοι τὴν πρὸς ἡμᾶς ἐγγύτητα, ἄπιτε. ταῦτα δὴ καὶ ποιοῦμεν, καὶ συντασσόμεθά σοι τὰ ὑποστρεπτικά· πλὴν ὅτι, ἐπεὶ πᾶσα γα-
15 στὴρ οὐδὲν ἄλλο εἰμὴ πλήρωσίς τε καὶ κένωσις, δὶς πληρωθέντες ἀπὸ τῶν σῶν ἀγρευμάτων καὶ δὶς κενωθέντες κατάκενοι ὑποστρέφομεν.*

88

[Es fängt akephalisch an.] [*1]

πλινθουργοῦσιν, οὐδ' οἰκοδομοῦσι τῷ νέῳ τούτῳ καὶ καθ' ἡμᾶς Φαραὼ πόλεις Bl. 68
*τινὰς ὀχυράς, Πιθὼ καὶ Ῥαμὰ καὶ Γεών, τιτάνους δὲ ὅλου δι' ἔτους εἰς κτίσεις λουτρῶν, καὶ γῆν ἀναχωννῦσι καὶ αὔλακα, καὶ τὸν ἐκεῖθεν ἀμύθητον [ἐκ-] φοροῦσι χοῦν. καὶ πέρας τοῦ πόνου, ὡς μὲν οἱ ἐπιστάται τοῦ ἔργου εἰς ὑδατο-
5 δόχου δεξαμενῆς καινισμόν, ὡς δὲ τὸ τοῦ ἔργου ἀτέλευτον δίδωσιν ἐννοεῖν, ἢ τὸν πυθμένα τῆς γῆς καὶ τὸ κατώτατον πέταυρον ἀναψηλαφᾷ, ἢ τὸ παιδικὸν καὶ γελοῖον, προβάτου ἐκεῖ που κεκρυμμένον ἀστράγαλον. ἤθελον ἐμπλατυνθῆναι τῇ περὶ αὐτοῦ διηγήσει καὶ στηλογραφῆσαι τῷ λόγῳ τὰ τούτου ἀνδραγαθήματα· ἄκαιρον δὲ τὴν ἐπιστολὴν ποιεῖν συγγραφήν, καὶ τοῦτο τὸ μέ-
10 ρος παρατιτρώσκειν τὴν ὑπαγόρευσιν. ὅμως ἐπὶ τοῖς λεγομένοις κεφάλαιον ἡ ἡμετέρα περίοδος, καὶ εἰ μὴ νόσος ἐκώλυεν, εἰ μὴ χειμὼν ἀπάρτι, εἰ μὴ μακρότης ὁδοῦ, ἐστηρίξαμεν ἂν τὸ πρόσωπον καὶ πρός σε, ἵνα καὶ τὴν σὴν ἱστορήσωμεν πόλιν καὶ ἐνώπιοι ἀλλήλοις ἀντιλαλήσωμεν. σὺ δέ με γράμμασι παρηγόρει, καὶ φέρειν τὰ δυσχερῆ εὐχαῖς ὑποστήριζε· ὀκλάζομεν γὰρ ἤδη καὶ
15 γήρᾳ καὶ νόσοις καὶ θλίψεσι. χαρίσαιτό μοι ὁ Κύριος τὸν γλυκὺν Δοκειανὸν πολυχρόνιον +*

89

[Fängt akephalisch an, da das Blatt, worin der Anfang des Schreibens stand, herausfiel.]

ἄνθρωπος καὶ παραγειτονεύσει αὐτῷ, μῆνα ἕνα οὐ μὴ τὸν ὑπομείνῃ. καὶ τού- Bl. 69

87 [4] *ἐκτρῖψαι* — [6] *παρατεμώ(μενος)* — [10] *ἰχθῦσϊ*

[*1. Siehe oben S. 10, Nr. 5 und unten Verbesserungen Nr. 27 und 88].

των ἐχόντων οὕτως, εἰς τὴν ἐλεημοσύνην σου ἀπέμεινε· ποῦ νὰ καθίσω; ποῦ νὰ ζήσω; ὁ Χορταΐτης δὲ ἀπὸ τὸν νοῦν μου οὐκ ἐβγαίνει, οὔτε ἡμέραν οὔτε νύκτα. καὶ προκρίνω δύσβατον ὄρος, χάσμα, κρημνόν, θάλασσαν, ποταμὸν παρασύροντα, ἢ τὴν μετὰ τοῦ ἀνδραδέλφου σου πλησιότητα. καὶ λύτρωσαί με 5 ἀπ' αὐτοῦ, καὶ τῆς ἀπανθρωπίας αὐτοῦ, καὶ τῆς ἀναισχυντίας καὶ δριμύτητος τῶν ἀνθρώπων αὐτοῦ, ὧν πάντων τῆς κακίας λυτρώσαιτό με Κύριος ὁ θεός, φρουρῶν καὶ σκέπων καὶ περιέπων τὴν βασιλείαν ὑμῶν +

90

Bl. 69 a

Τῷ Λαρίσσης +

Bl. 69 b

Ἔχω καιρόν, καὶ ἡμέραι παρέδραμον ἐπασσύτεραι· δανεισάτω μοι καὶ λέξιν Ὅμηρος ἐν καιρῷ, οὕτω γὰρ ἐκεῖνος ὀνομάζει τὴν τῶν πραγμάτων πύκνωσιν καὶ τὸν πληθυσμόν, ἀφ' οὗ τίμιον γράμμα τοῦ τὰ πάντα ἐμοὶ δεσπότου καὶ κατὰ πνεῦμα πατρὸς τὰς ἐμὰς ἐφαμάρτους οὐχ ἡγίασε χεῖρας. καὶ μή ποτε 5 καὶ ἡ σὴ ἁγιότης, πράγμασι περιστοιχισθεῖσα πολλὴν τὴν ναυτίαν καὶ τὸν κλύδωνα ἔχουσι. ταῦτα γὰρ ἐπυθόμην παρά τινων, οὕτω τὴν χεῖρα ἐπέσχες καὶ κάλαμον οὐ μετεχειρίσω τὸν γραφικόν; πάλιν δὲ ἤκουσα, ὡς τὰ τραχέα τῶν πραγμάτων ἐξωμαλίσθη σοι καὶ εἰς ὁδοὺς λείας ἐγένοντό σοι τὰ σκολιά· πιστεύω δὲ τοῖς προακουσθεῖσι τὸ πλέον, τὴν ἐνεστῶσαν ἡμέραν καὶ τὴν 10 συγχυτικὴν κατάστασιν αὐτῆς ἐννοῶν· δεῖ γὰρ ἐν τοῖς τοιούτοις σεμνολογεῖν, καὶ λέξεσι χρῆσθαι ταῖς καθωμαλισμέναις καὶ ἀφελέσι. ταῦτα ἐς τόσον· ἐμοὶ δὲ τὸ γῆρας ἐπέβρισεν, αἱ ἀῤῥωστίαι συνεπυκνώθησαν καὶ θανάτου πύλαις ἢ καὶ πρὸς αὐτὸν τὸν ᾍδην κατήγαγον· ἀλλ' ὁ θανατῶν θεὸς καὶ ζωογονῶν, ὁ κατάγων εἰς ᾍδου καὶ πάλιν ἀνάγων, ἐξέτεινέ μοι τὴν αὐτοῦ δεξιάν, ἧς 15 καὶ λαβόμενος ἀνεβίωσα· καὶ πατῶ γῆν, σπῶ ἀέρα, ὁρῶ ἥλιον, ἐσθίω ὅσα τῶν ἐδεστῶν, καὶ τὰ τοῖς μονοτρόποις ἐπιπρεπῆ· τούτων πλέον συνέχει μου τὴν ζωὴν ἡ σὴ ζωὴ καὶ τὸ δύνασθαί σε τὴν κατὰ τόπους ἔχειν μεταβολήν, ὡς καὶ νῦν· οὐδὲν γάρ μοι τῶν σῶν ἀνήκουστον ἐκ φιλικῆς πολυπραγμοσύνης. ἡ Βέσαινα ἔχει σε, τὸ εὔυδρον χωρίον καὶ πᾶσι βρύον τοῖς ἀγαθοῖς, 20 συνεορτάσοντα πάντως τῷ θαυμασίῳ Βεσαίνης, ὃν προσκυνῶ ἐπὶ τῇ τῶν θεοκηρύκων ἑορτασίμῳ· καὶ γίνου μοι ἄλλη ἑορτὴ καὶ παράκλησις· σοὶ γὰρ γέγηθα, κἀπιλήθομαι κακῶν.

91

Bl. 69 b

+ Τῷ ἁγιωτάτῳ Ἰωαννίνων καὶ τῷ λαμπροτάτῳ πνευματικῷ υἱῷ κῦρ Θεοδώρῳ τῷ Βατάτζῃ +

Ἐφ' οἷς ἐγράψατε τῇ ἐμῇ ταπεινότητι, σύ τε, ἁγιώτατε δέσποτα, καὶ σύ, λαμπρότατέ μου ἐν Κυρίῳ υἱέ, ἀπὸ τῆς Γραφῆς ποιήσομαι τὸν ἀπόλογον· ἐπερώ-

89 [2] καθήσω — [3] εὐγένει
90 [5] ἐφ' ἁμάρτους οὐχ' — [6] περιστοιχϊθεῖσα — [20] βρύ(ων)
91 [4] ἀπόλ^{ο}

5 τησον, φησί, τὸν πατέρα σου καὶ ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου καὶ ἐροῦσί σοι· πατέρα δὲ πατέρων τὸν μέγαν οἶδεν ἡ ἐκκλησία Βασίλειον· οὗτος οὖν ἐν ἑβδομηκοστῷ πέμπτῳ κανόνι τῶν πρὸς τὸν θεῖον Ἀμφιλόχιον ἀποκρίσεων ταῦτα διέξεισιν· ὁ ἀδελφῇ ἰδίᾳ ἐκ πατρὸς ἢ μητρὸς συμβιασθεὶς εἰς οἶκον προσευχῆς μὴ ἐπιτρεπέσθω παρεῖναι, ἕως ἂν ἀποστῇ τῆς παρανόμου καὶ
10 ἀθεμίτου πράξεως. μετὰ δὲ τὸ ἐλθεῖν εἰς συναίσθησιν τῆς φοβερᾶς ἁμαρτίας, τριετίαν προσκλαιέτω τῇ θύρᾳ τῶν εὐκτηρίων οἴκων παρεστηκὼς καὶ δεόμενος τοῦ λαοῦ εἰσιόντος ἐπὶ τὴν προσευχήν, ἕως τε ἕκαστον μετὰ συμπαθείας ὑπὲρ αὐτοῦ ἐκτενεῖς ποιεῖσθαι πρὸς Κύριον τὰς δεήσεις. μετὰ δὲ τοῦτο ἄλλην τριετίαν εἰς ἀκρόασιν μόνην παραδεχθήτω, καὶ ἀκούων τῶν Γραφῶν καὶ τῆς
15 διδασκαλίας ἐκβαλλέσθω καὶ μὴ καταξιούσθω προσευχῆς· ἔπειτα, εἴπερ μετὰ δακρύων ἐξεζήτησεν αὐτὴν καὶ προσέπεσε τῷ Κυρίῳ μετὰ συντριμμοῦ καρδίας καὶ ταπεινώσεως ἰσχυρᾶς, διδόσθω αὐτῷ ἡ ὑπόπτωσις ἐν ἄλλοις τρισὶν ἔτεσιν· καὶ οὕτως, ἐπειδὰν τοὺς καρποὺς τῆς μετανοίας ἀξίους ἐνδείξηται, τῷ δεκάτῳ ἔτει εἰς τὴν τῶν πιστῶν εὐχὴν δεχθήτω χωρὶς προσφορᾶς· καὶ δύο ἔτη
20 συστὰς εἰς τὴν εὐχὴν τοῖς πιστοῖς, οὕτω λοιπὸν καταξιούσθω τῆς τοῦ ἀγαθοῦ κοινωνίας. ταῦτα μὲν ὁ μέγας Βασίλειος. περισσὸν δὲ ἡγοῦμαι ὑπομιμνήσκειν τὴν ἁγιωσύνην σου περὶ τῶν τόπων τῆς μετανοίας, εἰδυῖαν, τῇ χάριτι τοῦ θεοῦ, καὶ κρειττόνως ἡμῶν τὰ κανονικά. ἵνα δὲ μὴ κοπιάσῃς τοὺς τοῦ Νύσσης κανόνας ἀνερευνῶν, ἐν οἷς ἐκεῖνος περὶ τούτων διασαφεῖ, ὡς ἐν ἐπι-
25 τόμῳ σοι καὶ περὶ τούτων ἐκθήσομαι: πρόσκλαυσίς ἐστι τὸ ἔξω τῆς τοῦ νάρθηκος πύλης ἑστῶτα τὸν πταίσαντα τοὺς εἰσερχομένους καὶ ἐξερχομένους ὑπὲρ αὐτοῦ εὔχεσθαι· ἀκρόασις δέ ἐστι τὸ ἑστάναι ἐν τῷ νάρθηκι καὶ τῶν ψαλμῳδιῶν ἀκούειν καὶ ἀναγνώσεων· ὑπόπτωσις δέ ἐστι τὸ μέσον τῆς ὡραίας πύλης καὶ τοῦ νάρθηκος ἑστῶτα τὸν πταίσαντα ταπεινοῦσθαι πρὸς
30 τὸν θεὸν καὶ καθαρωτέρας τῆς ψαλμῳδίας ἀκούειν· σύστασις δέ ἐστι τὸ ἵστασθαι μὲν ἐν τῷ χορῷ τῶν πιστῶν, μήτε δὲ προσφορὰν προσφέρειν, μήτε λαμβάνειν ἀντίδωρον, καὶ μετὰ τὸν ὡρισμένον καιρὸν ἀξιοῦσθαι τῆς κοινωνίας. ταῦτα ὑμῖν τοῖς νομίζουσιν εἶναί μέ τινα, μηδὲν ὄντα. ἡ χάρις τοῦ θεοῦ μεθ' ὑμῶν, ἀμήν.

92

+ Τῷ τιμίῳ καὶ ἁγίῳ Ἰωαννίνων + + ὁ ἁμαρτωλὸς Ἰωαννίκιος + Bl. 69b

Τὰ ζυγοφλάσκια ἐδεξάμεθα, τίμιε δέσποτα, χρείαν δὲ τοιούτων οὐκ εἴχομεν· ὅμως χρηστὰ ἡμῖν πάντα τὰ παρὰ σοῦ·

[Die Fortsetzung nicht vorhanden.]

91 [6] πρ̄ά (von dieser Abkürzung ist gegenwärtig nur das π vollständig erhalten, während von den anderen Buchstaben, von dem Akzent und den Abkürzungszeichen wegen einer Papierlücke nur Bruchstücke erscheinen) — [11] παρεςΐκ(ῶς) — [22] εἰδυί(αν) — [25] ἐκθήσωμ(αι) — [27] ἑςᾶ(ναι) — [30] καθαροτ(έ)ρ(ας) — [32] ὁρισμ(έ)ν(ον)

93

[Ohne Adressatangabe.]

Bl. 70 a *Ἔδει μὲν ἡμᾶς, ὦ τίμιε καὶ ἰσόθεε ἀδελφέ, τὴν τοῦ δικαστηρίου θύραν παντάπασιν ἐπιζυγῶσαι τῷ ἱερεῖ καὶ πρωτοπαπᾷ Μανουὴλ καὶ μηδόλως κλῖναι τὸ οὖς αὐτῷ εἰς τὸ ἀκροᾶσθαι τῆς ὑποθέσεως, περὶ ἧς διενέσεισε τῷ ἑτέρῳ εὐλαβεῖ ἱερεῖ Βασιλείῳ, τῷ ἐπωνυμουμένῳ Καλοκαιρῷ, ἀκούσαντα τμηθῆναι ταύτην παρὰ δυοῖν οὕτω μεγίστοιν ἀνδροῖν, σοῦ τε δηλαδή, τοῦ τῆς δι-* 5 *καιοσύνης στάθμης, καὶ τοῦ πανευκλεοῦς μεγάλου λογαριαστοῦ, ἀνδρὸς δικότριβος ὄντος καὶ περὶ τὸ θεμιστεύειν ἐντεθραμμένου· πλὴν ἀδελφικαῖς ἀξιώσεσιν εἴκειν ἐκμελετήσαντες, ὑπέσχετο μὲν τοῖν μεροῖν ἀμφοτέροιν τὴν ἀκοήν. ὡς γοῦν διηγουμένων αὐτῶν τὰ τῆς ὑποθέσεως, ἐδέησε καὶ τὰ ὑπομνήματα προτεθῆναι εἰς μέσον, οἷς τισιν ἐπερειδόμενοι τὰ τοιαῦτα κινοῦσι· τοῦ ἱερέως* 10 *Βασιλείου τὸν προσόντα τούτῳ χάρτην ἐξενεγκόντος, ἐκ πρώτης, ὃ δὴ λέγεται, γραμμῆς ἀδήριτον ὑπέφαινε τὴν δεσποτείαν τῆς ἡμισείας τοῦ μυλικοῦ ὑπουργείου τῷ αὐτῷ ἱερεῖ. ἅμα τε γὰρ ἐξεφαάνθη τοῦ κόλπου αὐτοῦ, καὶ ἅμα τὴν ἐπικύρωσιν ἐπεδήλου τούτου αὐτῷ, διὰ τῶν πρὸ ἡμῶν μακαριωτάτων ἀρχιερέων, Ἰωαννίνων τε καὶ Βελᾶς, ὡς δὲ καὶ ἀναπτυχθὲν ἡ τοῦ ἔτους ἠριθμεῖτο* 15 *ποσότης, ἐξότου παρ' αὐτοῦ ἐδέσποσε τὸ μέρος τοῦ ἱερέως Βασιλείου, εὑρίσκετο πάνυ χρονία, καθ' ἣν καὶ οἱ ἀπόδημοι μακρὰν ἀποκλείονται. ἐκ γοῦν τούτων καὶ τῶν τοιούτων διέγνωμεν μάτην καὶ πάντη ἀδίκως ἐπιφύεσθαι τὸν διαληφθέντα πρωτοπαπᾶν Μανουὴλ τῷ ἀναγεγραμμένῳ ἱερεῖ Βασιλείῳ. ὡς γοῦν ἠθέλησας, γνωρίζομέν σοι τὸ καὶ ἡμῖν παριστάμενον. χαρίζοιτό μοι κύ-* 20 *ριος ὁ θεὸς ἐπὶ χρόνοις ἀπείροις τὴν ἁγιωσύνην σου ἄνοσόν τε καὶ εὔθυμον· τὸν πανευκλεέστατον μέγαν λογαριαστὴν πολλὰ προσκυνῶ, καὶ ἀξιῶ αὐτὸν ἀνασχέσθαι ἡμῶν ἐκπληρῶσαι τὴν βίβλον αὐτοῦ.*

94

Bl. 70 a *+ Τοῦ Ἰωαννικίου [=Ἰωάννου Ἀποκαύκου, πρώην Ναυπάκτου] πρὸς τὸν Ἰωαννίνων +*

[Σ]οὶ δὲ ἄρα φροντὶς περὶ ἡμῶν οὐδεμία· ἢ γὰρ ἂν ἐχεῖτό σοι περὶ τὴν μελανοδόκην τὸ μέλαν, ὁ δὲ κάλαμος ἐκεῖθεν βαπτόμενος ἐνετύπου τῷ χάρτῃ τὰ τῆς εὐεργεσίας μνημονικὰ καὶ τὰ τῆς ἀγάπης ἐνδεικτικά· ἀγάπης δὲ ἔν- 5 *δειξις ἡ τῶν χρησίμων σπουδή. ἀλλ' οἱ πλάσται γυμνὰς ποιοῦσι τὰς Χάριτας, οὐχ ὡς φευγούσας, ἀλλ' ὡς ἑτοίμους εἰς δόσιν· ἡ δὲ νῦν ἡμέρα φευγούσας ταύτας ποιεῖ· ἅμα γὰρ ἠλέηται, ἄλλος ἔφη, καὶ τέθνηκεν ἡ χάρις· ἀλλὰ μὴ σὺ τοιοῦτος γίνου· εἰ γὰρ ψυχαὶ τῶν πραγμάτων εἰσὶν οἱ καιροί, οὗτοι δὲ ψυχῶν ἂν τύχωσιν ἀμελῶν, θνήσκουσι μὲν αὐτοὶ καὶ ὑπὸ τῆς ἀμελείας νε-* 10

93 [12-13] *ὑπουργίον* — [19] *ἀπᾶ* (mit übergeschriebenem *π*)

94 [3] Die Initiale, welche in roter oder anderer farbiger Tinte angefertigt werden sollte, ist nicht geschrieben — [7] *οὐχ'* — [10] *ἀν*

κροῦνται τῶν ὡσανεὶ κοιμωμένων· ἀλλ' ἀνάστηθι καὶ ὑψωθήτω ἡ χείρ σου καὶ μὴ ἐπιλάθῃ τοῦ πενητεύοντος· καὶ λοιπὸν γρηγόρησον ἀπάρτι τὴν ἐνδεχομένην ἐγρήγορσιν, χαριζόμενος ἡμῖν αὐτό τε τοῦτο καὶ θεοπειθεῖς προςευχάς.

95

[Ohne Adressatangabe.]

Πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ σου, ἅγιε κύριέ μου καὶ ἀντιλήπτωρ, Bl. 70 καὶ τῶν συνεχόντων με λυπηρῶν μετρίαν γοῦν εὑρήσω ἀπαλλαγήν; πότε τῆς γλυκείας σου καταπολαύσω μορφῆς καὶ τῇ ἐκ ταύτης ἐντυχίᾳ χαρμονῆς καὶ τέρψεως ἐμπλησθῶ ἡμίζωος ἐγὼ τοῖς ζῶσι δεικνύμενος καὶ τοῖς τεθνεῶσιν 5 ἡμιθνὴς χρηματίζων καὶ τοῖς ἀμφοτέροις τούτοις ἀμφιμαχόμενος; ὅτι μὲν γάρ σε καθ' ἑκάστην φαντάζομαι, καὶ εὐεργέτην ἔχω καὶ ἀντιλήπτορα καὶ προςδοκῶ καθημέραν ἐντυχεῖν σοι καὶ τῶν σῶν καταπολαῦσαι ἡδυτάτων ὑπὲρ μέλι προςλαλιῶν καὶ ἀέρα σπῶ καὶ πνεῦμα πάντως συλλέγω καὶ μετὰ τῶν ζώντων εἰμί. ὅτι δὲ τὸν σὸν ἐστέρημαι ἀδελφόν, τὴν ἐμὴν παραμυθίαν, τὴν ἐμὴν 10 τιμήν, τὸ ἐμὸν κατὰ πάντα σέμνωμά τε || καὶ ὕψωμα, ζωὸς ἐς Ἅδην κατάγο- Bl. 71 μαι καὶ τοῖς νεκροῖς αἱροῦμαι συναριθμεῖσθαι ἢ τοῖς ζῶσί με συντετάχθαι καὶ μὴ βλέπειν ἐν γῇ τὸν ἡμεδαπὸν παρακλήτορα. ὦ μοι κακὴ Κλωθώ, Ἐρινύς, ὡς δεινὸν γάρ μοι τὸν δυστυχίας μίτον ἐπέκλωσας! ἵνα τί μὴ καὶ αὐτὸς τῷ ἐμῷ δεσπότῃ συνετεθνήκειν καὶ τῷ τάφῳ συνῴκησα! καὶ Πυλάδης ἕτερος καὶ 15 Ὀρέστης ταῖςδε ταῖς ἡμέραις καὶ ἡμεῖς ἀνεφάνημεν. ἢ γὰρ ἂν ἐλπίς μοι καὶ αὕτη παρῆν, ὡς καὶ τῶν ἐκεῖσε ἀμοιβῶν αὐτῷ συναπήλαυσα καὶ σὺν ἐκείνῳ πατεῖν αὐλὰς τὰς οὐρανίους συνηριθμήθην· πέπεισμαι γὰρ τῇ ἀρετῇ ἐκείνου καὶ τῇ πρὸς ἐμὲ ἀγάπῃ τεθαρρηκώς· ἀλλ' Ἡράκλεις τῆς ἀποτυχίας ἐγώ, Ἡράκλεις τοῦ δυστυχήματος! ἀθαλὲς ὡς δένδρον καὶ ὡς ἡμίτομος συκῆ καταλέ- 20 λειμμαι! καὶ τῆς πνοῆς μου τῷ τάφῳ κατασχεθείσης πνέω αὐτὸς παρ' ἐλπίδα πᾶσαν πνοὴν ἀνωφελῆ καὶ ἀνήδυντον! τί δ' ἂν φαίης, ἐπὰν καὶ ψῆφον ἄλλην ἐθεώρουν καὶ χειροτονίαν τελουμένην εἰς Ναύπακτον! οἵαν τότε τὴν καρδίαν εἶχον ἐγώ! ὁποῖά μοι τὰ ἐκ τῶν ὀφθαλμῶν προχέοντο δάκρυα, Ναυπάκτου μὲν ἀκούων τὸν ἀναγορευόμενον, πάντοσε δὲ περισκοπῶν καὶ μὴ τὸν 25 ἐκεῖνον καθορῶν Ναυπάκτου, τὸν εὐεργέτην μου! οἶδα μέν, ὡς οὐκ ἀναλγήτως ταῦτα φέρεις καὶ ἀπαθῶς, ἡ γενναία σὺ καὶ ὅλως ἰσχυροτάτη ψυχή, καὶ αὐτοῦ ἀδάμαντος στεῤῥοτέρα καὶ ὑπομενητικωτέρα τοῦ ἄκμονος· ἀλλ' ἔχεις τὸν παρακαλοῦντα θεόν, καὶ τοῖς τεθλιμμένοις ἀναψυχὴν διδόντα καὶ παρηγορίαν καὶ ἄνεσιν, ἔχεις δὲ καὶ τὴν σύντροφον ἀρετὴν καὶ φιλοσοφίαν τὴν ἀξιέ- 30 παινον, τῆς τοιαύτης λύπης ἀπαλλαττούσας σε καὶ ὡς ῥευστὰ τὰ παρόντα διαδεικνύσας καὶ τὰ χίλια ἔτη ὡς ἡμέραν μίαν ὑποτιθείσας, τὰ δ' ἐκεῖσε πάντα καὶ ἀγήρατα καὶ ἀθάνατα. τούτοις ἐρειδόμενος, μετριοπαθήσεις οἶδα· καὶ

95 [3] τῇ das ῃ nach einer Korrektur neuerer Hand — [6] καθεκάςην — [13] μῖτ(ον) — [14] συνώκη(σ)α — [17] ςυναρϊθμήθ(ην) — [18] τεθαρρηκ(ῶς) — [19] ἤθελὲς — συκὴ — [21] ἐπᾶν — [27] ἄκμωνος

πῆ μὲν κλαύσεις τὸν τοῦ ἀδελφοῦ χωρισμόν, ἑτέρωθι δὲ δοξάσεις τὸν ζωῆς καὶ θανάτου δεσπόζοντα. ἐγὼ δὲ πλείσταις ταῖς ἀσθενείαις κατατρυχόμενος, ἐκδέχομαι καιρὸν εὔθετον πρὸς ἐντυχίαν τῆς σῆς ἀντιλήψεως ἐπιτήδειον, ὃν 35 *καὶ δοθῆναί μοι πρὸ τοῦ ἀποθανεῖν με ἐπεύχομαι· ἐντυχών σοι δὲ καὶ προσκυνήσας καὶ τῶν ἀπὸ σοῦ ἐμφορηθεὶς ἀγαθῶν, προσλαλιῶν καὶ προσρήσεων, οὕτως ἐπὶ τὴν πνευματικῶς με γειναμένην τοῦ Στειρίου μονὴν ἀφίξομαι, τὸν χοῦν ἐκεῖσε τῷ χοΐ ἀποδώσων* +

96

Bl. 72 a + *Τοῦ Ἰωαννικίου* [=*Ἰωάννου Ἀποκαύκου πρώην Ναυπάκτου*] *πρὸς τὸν Ἰωαννίνων* +

+ *Ὦ δέσποτα, καιρὸς εὐχῶν· προσέθηκε γὰρ ὁ θεὸς ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου καὶ διπλασιάζω ἤδη τὴν ἑβδομάδα ἄγρυπνος, ἄσιτος, ἔμπονος, μήτ' ἐπὶ δεξιά, μήτε εἰς εὐώνυμα μετακλιθῆναι δυνάμενος, ἀλλὰ ὅλος ὕπτιος ἀνακέκλι-* 5 *μαι. καὶ εἰς τόσον μοι τὰ ἀλγεινὰ ἐπηύξηται καὶ τὰ ἔμπονα, ὡς τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ αὐτὸ μὴ εἶναι μετ' ἐμοῦ. καὶ τί μοι ἀπάρτι κέρδος ζωῆς;* Bl. 72 b *ἰδοὺ γὰρ καταλιμπάνω τὰ ἔτη τὰ ἐπίλοιπα, καὶ ὡς τρυγών,* || *λαλῶ σοι τὰ τελευταῖα, καὶ ὡς περιστερά, μελετῶ σοι τὰ ἔσχατα· ἐγένετο γὰρ ἡ ἰσχύς μου ὡς ἱστὸς ἐρίθου ἐγγιζούσης ἐκτεμεῖν καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνε-* 10 *φρύγησαν. τὰ τῆς φωνῆς ὄργανα δυσκίνητα· αὕτη ἰσχνή, πνεῦμα λεπτόν, φθέγμα βραχύ· τί χρὴ πράττειν; ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις συντάττεσθαι, τοῖς τοῦ κόσμου, τοῖς ἐχθραίνουσιν, τοῖς φιλοῦσι, τοῖς μὲν εὐχήν, τοῖς δὲ ἀφοσιοῦσθαι συγχώρησιν. Ὦ βίε πλάνε καὶ ἄπιστε καὶ μηδὲν ἔχων ἐν οὐδενὶ παραμόνιμον, οὐ πλοῦτον, οὐ δόξαν, οὐκ ἔνδειαν, οὐ τρυφήν, ἀλλ' ὅτι ἥπλωσαι* 15 *τοῖς ἀθλίοις ἡμῖν, ὡς τὸ ἐκτεταμένον προφητικὸν δίκτυον ἐπὶ τὸ πέδον τὸ Ἰταβύριον! πόσα θέλω θρηνῆσαι τὴν ἀνθρωπικὴν ματαιότητα! ἀλλ' αἱ ὀδύναι μεθέλκουσαι καὶ γλῶτταν δεσμοῦσι καὶ τὴν σιγὴν ὑποτίθενται. λοιπὸν τῷ ἀναγκαίῳ ἑψόμεθα· σὺ δέ μοι γίνου τὰ εἰς θεόν, ὁποῖος ἐγὼ τὰ εἰς ἀνθρώπινα περὶ σέ* + 20

97

[*Ὁ Ναυπάκτου Ἰωάννης ὁ Ἀπόκαυκος τῷ Ἰωαννίνων*]

Bl. 72 b *Ἁγιώτατε δέσποτα Ἰωαννίνων, καιρὸς ἀντιλαβέσθαι σε πένητος· εἰ δὲ καὶ πένης ὁ δεόμενος ἀντιλήψεως, ἔτι μᾶλλον χρεὼν ἐπορέγειν αὐτῷ χεῖρα· εἰ δὲ καὶ θῆλυ μέρος ἐστίν, ἐπὶ πλέον τὴν ἐπισκοπικὴν ἐπίνευσιν ἀπαιτεῖ. ἔστι γοῦν ἐν τῇ Ἄρτῃ νεᾶνις, ἐγγίζουσα εἰς συγγένειαν τῇ γυναικὶ τοῦ Μακρεμβολίτου καὶ διὰ ταύτης αὐτῷ, καὶ συνηρμόσθη ἀνδρὶ Θεοδώρῳ τῆς Ἀγάθης· καὶ ἔγνω* 5 *ταύτην. ἡνιοχούμενος δὲ παρὰ τῶν αὐτοῦ προσγενῶν καὶ τῶν παιδικῶν ὁρμῶν*

96 [3] *Ὦ* — [4-5] *ἐπϊδεξϊὰ* — [9] Die Worte *ἰσχύς μου* wegen einer Lücke etwas zweifelhaft — [11] *δυσκίνητα;* die ersten drei Buchstaben getilgt — [14] *Ὦ*
97 [4] *νεάνϊσ*

ἀνασειραζόμενος, ἀπέπτυσε μὲν τοὺς τῆς παιδεύσεως χαλινούς, ὅλῳ δὲ ποδὶ πρὸς τὰ σὰ ἀπέδραμεν Ἰωάννινα· ζητοῦσι δὲ καὶ οἱ πενθεροὶ καὶ ἡ γαμετή· ἡ μὲν τὸν ἄνδρα, οἱ δὲ τὸν γαμβρόν· καὶ κεῖται ἡ θεραπεία τοῦ πράγματος
10 *παρὰ τῇ σῇ ἁγιότητι· καὶ ἀξιοῦμεν συνάρασθαι τοῦ δικαίου τοῖς ζητοῦσι τὸ δίκαιον. τὰ δὲ ἐμὰ ἐν πέδαις καὶ χειροπέδαις, οὐχ ὅτι δι' ἐνδοξότητα, ἀλλ' ὅτι ἐν ἁμαρτίαις ἐβασιλεύσαμεν· εἴ τι γοῦν ἰσχύεις, βοήθει μου τῇ ἀσθενείᾳ. αἱ ἅγιαί σου εὐχαὶ καὶ αἱ δυνάμεις αὐτῶν μετὰ τῆς ἐμῆς ταπεινότητος +*

98

Τῷ Ἰωαννίνων + + ὁ ἁμαρτωλός ποτε Ναυπάκτου + Bl.

Ἁγιώτατε Ἰωαννίνων καὶ ἠγαπημένε μοι δέσποτα, εὐχόμεθα ὑγιαίνειν σε· ἡμεῖς δὲ ὅπως ἔχομεν, ὁ ἡμέτερος οὗτος ἀπαγγελεῖ σοι. τί δέ σοι πεπαρῳνήκαμεν, ὡς ἐπὶ τοσοῦτον σιγῆσαι τὰ εἰς ἡμᾶς καὶ μηδεμίαν ἀπὸ σοῦ παρά-
5 *κλησιν δέξασθαι, καὶ ταῦτα ἐν θλίψεσιν ὄντας καὶ ἀῤῥωστίαις παλαίοντας; ἀλλὰ καὶ ἀπόστολοί σου ἐρχόμενοι ἐν τῇ Ἄρτῃ οὐδὲ προσόψεως ἀξιοῦσιν ἡμᾶς· καὶ ἔκειτό μοι ἐν γήρᾳ λυγρῷ μὴ μόνον ἀῤῥωστίαις καταδαμάζεσθαι, ἀλλὰ καὶ τῇ τῶν ἀγαπητῶν ἀποστροφῇ τὸ πλέον καταμαραίνεσθαι. ἐπὶ πᾶσι δὲ τῷ θεῷ δόξα. σὺ δὲ μακροημερεύων ὑγίαινε, ἡμᾶς δὲ ἔα φθινύθειν καὶ τοῖς ἀνια-*
10 *ροῖς κατὰ δικαίαν κρίσιν ἐκδαπανᾶσθαι +*

99

[Fängt akephalisch an. An Nikolaus,] [*Bischof von Vonditza]

σὲ μὲν γὰρ παρῆλθεν ὁ στόλος καὶ ἡ ἐκ τούτου παγίς, δίκαιον ὄντα πάντως Bl. *ὁμολογῶ καὶ μαρτύρομαι· ἡμεῖς δέ, εἰ καὶ μὴ τοῖς ἀπὸ τούτου θερμοτέρας αἰσθήσεως ἐλάβομεν πεῖραν, τέως μετέσχομεν τοῦ καπνοῦ. πρὸ καιροῦ γὰρ πειρατικοὶ φυγάδες ἡμέτεροι προσχωρήσαντες τοῖς κατὰ Πάτραν Λατίνοις,*
5 *ἐπεὶ ὁ στόλος παρήρχετο τὰ ἡμέτερα, θάῤῥος οἱ φυγάδες λαβόντες, μετὰ τῶν πειρατικῶν λεμβαδίων τῇ Ναυπάκτῳ προσώκειλαν καὶ πῦρ ἀνῆψαν κατὰ πάσης τῆς πόλεως. καλυβῖται δὲ οἱ ἐμοὶ πολῖται, καὶ χόρτος τούτοις αἱ κέραμοι, ὕλη ξηρὰ μὲν τῷ χρόνῳ, εὔπρηστος δὲ πυρὶ πλησιάζουσα· καὶ ἐταλαιπωρήσαμεν καὶ κατεκαύθημεν ἕως τέλους. οὐχ ὑπελείφθη ἄκαυστον δένδρον,*
10 *οἱ μεταξογεννήτορες σκώληκες αὐταῖς καλύβαις ἀπώλοντο, τὰ λήϊα καταπεπάτηνται καὶ μησὶ μᾶλλον ἢ δράγμασι γνωρίζεται τὸ θέρος ἡμῶν. ὁ σύμπας λαὸς ἕως καὶ δεῦρο ἀνατρέχει ἐπὶ βουνούς, ἄνδρες ἐπελάθοντο τῶν γυναικῶν, γυναῖκες τέκνων, πόδες γυμνοπορεῖν ἀμαθεῖς ἐπὶ πετρῶν ὀξυβελῶν ἐπορεύοντο. καὶ ἦν ἡ δῆθεν ἀπαγωγὴ ὀδυνηρὰ καὶ πολύκλαυστος· καὶ ἦν ἰδεῖν τὴν*

97 [11] *οὐχ'*
98 [6] *προσώψε(ως)* — [8] *ἀποςροφὴ* — [9] *φθϊνῖθειν*
99 [4] *τηθ* — [7] *καλυβῖται* — *πολῖται* — [8] *εὔπρϊς(ος)* — [9] *οὐχ'* — [10-11] *κατεπεπάτηντ(αι)* — [13] *ὀξεβελ(ῶν)*

τοῦ Κυρίου κατὰ τῆς Ἱερουσαλὴμ προαγόρευσιν πληρουμένην καὶ ἐφ' ἡμῖν. οἱ 15
γὰρ ἐν τῇ πόλει ἐπὶ τὰ ὄρη ἐφεύγομεν καὶ ὁ ἐπὶ τῶν βουνῶν οὐ κατέβη ἆραι
τὸ οἰκεῖον ἱμάτιον. ταῖς δὲ ἐχούσαις ἐν γαστρὶ καὶ ταῖς θηλαζούσαις ἦν πο-
λὺ τὸ οὐαί, οὐ κατ' αὐτῶν τῶν τοῦ στόλου ἀναιρουμένων τὴν ἑκάστου ἀπο-
σκευήν, ἀλλὰ τῶν τοῦ κάστρου στρατιωτῶν καὶ τῶν ὀρεινοτέρων καὶ ἀγελαίων·
οὗτοι γάρ, τὴν τοῦ στόλου διέλευσιν τῆς σφῶν ἁρπαγῆς εὑράμενοι πρόφασιν, 20
πᾶσαν περιουσίαν τῶν πολιτῶν ἐληΐσαντο· καὶ νῦν ἡ μὲν πόλις κένανδρος,
πόλις δὲ τοῖς χθὲς ἐν τῇ πόλει τὰ τῶν ὀρῶν ὑψικόρυμβα, λαχανηρὰ δὲ πᾶσα
παράκλησις. οὐδὲ εἰς ὄναρ ἡμῖν αἱ τῶν μελισσῶν ἀποθῆκαι κεκένωνται. καὶ
κἂν αἱ μέλισσαι τοὺς συλητὰς τοῦ μέλιτος κατεκέντριζον, ἀλλ' οὗτοι, εἰς οὐ-
δὲν ἡγούμενοι τὰ κεντρίσματα, αὐταῖς μελίτταις ἐξεφόρουν τὰς μελιτούττας. 25
τί χρὴ λέγειν τὰ πλείω καὶ τὰ δεινότερα; σχολῇ γ' ἄν, καὶ ὁ πολύδακρυς Ἱε-
ρεμίας, εἴ γε παρῆν, ἀξίως ἀπεθρήνησε τὰ ἡμέτερα. ὁρᾷς, ὅπως σοὶ μὲν συν-
τρέχει τὰ κάλλιστα, ἀδελφοῦ παρουσία, ἀπουσία τῶν ἐκ τοῦ στόλου κακῶν,
ἡμεῖς δέ, ὡς ἐφάμαρτοι, πολυτρόπων κακῶν ἐλάβομεν πεῖραν; καὶ ἀληθῶς
γινώσκει Κύριος τοὺς αὐτοῦ, ἁμαρτωλοὶ δὲ κακύνονται, καὶ οὕτως, ὡς ἐπὶ τὸ 30
ἄλγος τῶν τραυμάτων μου προστεθῆναί μοι· χάλαζα γὰρ χειροπληθὴς καὶ
ῥαγδαία κατεῤῥάγη ἐν τοῖς Γοβλάστου, καὶ καρποφόρον μὲν ἅπαν ἀπεφύλλι-
σε δένδρον, καρποὺς [δὲ] συνέτριψε, κεράμους συνέθλασε, πάντα κόσμον ἀμ-
πέλων καὶ φυτῶν περιέκειρεν. οἴμοι, ὅτι πεπλουτήκαμεν ἐν κακοῖς, καὶ μία
μοι παρηγορία τῶν ὀδυνῶν, τὸ πρὸς τὸν ἐμὸν Νικόλαον στείλασθαι· ποία μοι 35
γὰρ ἄλλη τῶν ὀδυνῶν ὑπολώφησις καὶ παρὰ τίνος ἑτέρου παράκλησιν δέξο-
μαι, εἰ μὴ σὺ καὶ παρὰ σοῦ κερασθήσεταί μοι τὰ ἀκεσώδυνα; αἱ κέρασοι, αἷς
ἐνετρύφων καὶ ὄψει καὶ γεύσει, καταπλῆγα τὸν καρπὸν ἔχουσι· καὶ βλέπω ἐκ
τῆς παιδεύσεως ταύτης, ὁπόσην αἱ ψυχικαὶ πληγαὶ προφέρουσι τὴν εἰδέχθειαν.
ἀρκεῖ καὶ ταῦτα πρὸς παράστασιν τῶν ἡμετέρων κακῶν, λαβόμενος δὲ και- 40
ροῦ καὶ ἀνανήψας τοῦ πάθους, λογογραφήσω σοι τὰ δεινά μου. τὸ δὲ παρόν, ὃν
κατεδοῦμαι θυμὸν μόνον, εὐχὰς δαψίλευέ μοι πρὸς τὸ δύνασθαι φέρειν πάντα
τὰ ἐπερχόμενα.

100

Bl. 73 a *Τῷ αὐτῷ* [=Nikolaus,] [*Bischof von Vonditza]

Ὁ πεμφθεὶς μειρακίσκος εἰς ἀνάληψιν ψήφων, εἰς καλλιγραφίαν χειρός, οὐ διε-
τής, οὐ τριετὴς προσελήφθη μοι, οὐδὲ προάγων τούτους εἰς ἡλικίαν, ἀλλ' ἔτι κυο-
φορούμενος, συνθεμένου μου τῇ μητρί, ὡς εἰ μὲν ἄῤῥεν τέξει, ἐμὸν ἔσται, εἰ δὲ
θῆλυ γεννήσει, ταύτης ἔσται· καὶ τέτοκεν ἄῤῥεν, τοῦτον δὴ τὸν ὁρώμενον· καὶ 5
ἐκ νηδύος ἐμὸν τὸ παιδίον· καὶ βαπτισθὲν τοὐμοῦ μετέσχεν ὀνόματος, ἵν' ἐντεῦ-
θεν ἐμοί τε τῷ προςλαβομένῳ ὁμωνυμήσῃ καὶ τὴν εἰς αὐτὸν ἡμετέραν [πρό-
νοιαν] ἕξει πλείονα. καὶ τὸ μὲν κύριον ὄνομα τοῦ παιδός, Ἰωάννης· τὸ δὲ ἐπί-

99 [23] *ἀποθ(ίκ)αι* — [24] *συλλΐτ(ὰς)* — [25] *μελΐττούτ(ας)* — [29] *πείρ(αν)* — [31] *πρ(ος)τε-θῆν(αι)* — [32] *γοβλάςου* — [33] *[δὲ]* mein Nachtrag — [36] *παρα* — [38] *κατάπληγα*
100 [7-8] *[πρόνοιαν]* mein Nachtrag — [8] *ἕξει*

θετον, Κλέπτης. οὐχ ὅτι κλέπτει, ἀλλ' ὅτι ἐξ ἐμπεριστρόφου τῆς δεξιότητος
10 καὶ τῆς περὶ τὰ πρακτέα γοργότητος, ἔτι δὲ ἐτυμολογίας καὶ καινοτέρων ὀνομάτων καὶ πρακτέων εὑρέσεως, τὴν κλῆσιν ταύτην ἐκτήσατο· καὶ ἔστιν, ὡς ἡ πεῖρα γνωρίσει, ὀξὺς μὲν ἀκοῦσαι, ὀξύτερος δ' ἀποκρίνασθαι, ταχὺς τοὺς πόδας εἰς ἐπιταγμάτων ἐκπλήρωσιν. εἰ δὲ καὶ τοῦτο πρὸς σὴν διάχυσιν οὐκ ὀκνητέον εἰπεῖν, ἔτι γραμ||ματιζόμενος, παρετήρει τὰς ὄρνεις καὶ τοὺς φω- Bl. 7
15 λεοὺς ὑπεισήρχετο καὶ ὑφῃρεῖτο τὰ ᾠὰ καὶ μάλισθ' ὅτε ἡ πέμπτη τῆς τεσσαρακοστῆς ἑβδομάς, ἣν αὐτὸς ἐκ χωρικῆς παραδόσεως κωφὴν ἐπωνόμαζε· τότε γὰρ προαπετίθει καὶ προέκρυπτε τὰ ᾠά, ἵν' ἐν τῷ πάσχα μετὰ τῶν κατ' αὐτὸν παίδων ᾠοκρουστῇ· ἀλλὰ κἀκ τῶν ἐνταῦθα ῥοδωνιῶν ῥόδα κνίζων λαθραίως, ἐξ ἡμῶν παιζόντων εἰς κλέπτου κλῆσιν ἐμπέπτωκε. τὰ μὲν οὖν
20 τῆς τούτου παρ' ἡμῶν προσλήψεως, τὰ τοῦ παιδικοῦ βίου ἐπιτηδεύματα, εἰς τοῦτο προὐχώρησε· φρόνησιν δὲ ἔχει τῆς ἡλικίας, ὡς ἡμῖν τεκμαίρεσθαι, πλείονα· ὀξυδρομεῖ δ' ἐν τοῖς ἐπιτάγμασι καὶ σφάλλεται ἔν τισιν, ὡς οὐ μετὰ σκέψεως πράττων, κἀντεῦθεν εἰκάζεταί μοι κατὰ τὴν σοφίαν Ἀριστοτέλους θυμῷ· ὡς γὰρ οὗτος ἀλόγως πράττει, οὕτω καὶ τῶν οἰκετῶν οἱ ταχεῖς καὶ πρὶν
25 ἀκοῦσαι ὁρμῶντες καὶ πρὸ τοῦ ἀκριβώσασθαι τρέχοντες· καὶ τοὺς τοιούτους ἐκεῖνος, διὰ τὴν τῶν ἀκουσμάτων ἀτέλειαν, διὰ τὸ τῶν πρακτέων ἀνακριβές, εἰκάζει θυμῷ. ἀλλὰ τὰ μὲν τοῦ παιδὸς καὶ προτερήματα καὶ ἀποπτώματα ἐς τόδε σκοποῦ ἡ ἐκ τοῦ χρόνου πεῖρα ἡμῖν ἐγνώρισε· τῆς δὲ τούτου προκοπῆς οὕτω μοι μέλει, ὡς τῆς κατὰ ψυχὴν σωτηρίας. εἰ δ' ἐρωτᾷς, καὶ πῶς ὁ τόσης
30 ἀξιούμενος τῆς προνοίας ἐς τόδε ἡλικίας ἐστὶν ἀπαίδευτος, ἀκούσεις, ὡς ἀγάπη παρυπεκράτει τοῦτον ἕως καὶ δεῦρο· ὡς γὰρ μέλος ἐμὸν αὐτὸν λογιζόμενος, ὤκνουν ἀποκόψαι τοῦτον ἐμοῦ· καὶ νῦν γενομένου τούτου στεῤῥοτέρας φρονήσεως καὶ βιάσαντος ἐς διδασκάλου ἐλθεῖν, τῆς βίας ἡττήθην· ἄλλως τε, καὶ τίνος ἄλλου τῶν ἀγαθῶν ἡ Ναύπακτος εὐπορεῖ, ὡς καὶ ψηφοδιδασκάλου
35 μὴ ἀπορεῖν; ἔγωγε οὖν τὴν σὴν γινώσκων εὐλάβειαν, τὴν τοῦ ἤθους μετριότητα, τοῦ λόγου τὸ ἥσυχον, τὴν ἐς τὰς ψήφους ἀκρίβειαν, τὴν τῆς χειρὸς δεξιότητα περὶ γραμμάτων χαράγματα, ἐγχειρίζω σοι τὸ παιδίον, ἵνα πάντως τήν τε κατὰ ψυχὴν ὀρθότητα καὶ τὴν περὶ τὴν παίδευσιν ταύτην κτήσηται μαθητείαν. καὶ θαῤῥῶ δώσειν σε τούτῳ τῆς ἐπιμελείας τὸ πλέον, διὰ τὸν θεόν,
40 δι' ἡμᾶς, διὰ τὴν σὴν καλοκαγαθίαν, διὰ τὴν τοῦ παιδὸς ὀρφανίαν· ἀξιῶ δὲ καὶ ἐν τοῖς ὄρθροις κατάρχειν τῶν κανόνων τοῖς ψάλλουσι, ἵνα καὶ περὶ τὴν ἀνάγνωσιν ἐντριβῇ· ἡ δὲ παιδευτικὴ ῥάβδος ἔστω σοι ἀνὰ χεῖρας καὶ συνεχῶς ἐπανατεινέσθω τῷ μειρακίῳ· δεῖται γὰρ ἀνασειρασμοῦ τὸ παιδίον, ὡς μὴ ἐκφέρηται πρὸς τὰ μὴ καθήκοντα, ἔτι δὲ τῆς ἐκ λόγων στύψεως, ἐξ ἧς τὸ τοῦ
45 ἤθους διαῤῥέον αὐτῷ συμπαγήσεται, καὶ μὴν καὶ βλέμματος βλοσυροῦ, ἐξ ὧν ἁπάντων πρὸς ἑαυτὸ συναχθήσεται ἀπὸ τοῦ παιδικοῦ σκορπισμοῦ. γίνου δὲ τῷ παιδίῳ καὶ νέος Ἠλεί, οὐ διδάσκων ὡς ἐκεῖνος τοὺς υἱοὺς ἁπαλῶς καὶ

100 [9] οὐχ' — [12] πείρα — [15] ἠφηρεῖτο — [16] Hinsichtlich des Satzes: ἣν — ἐπωνόμαζε notiert der Schreiber an dem linken Rand des Bl. 73b: Cη.(μείωσαι)—παραδώσε(ως) — [26] ἀνάκριβ(ες) — [43] ἀνασυρασμοῦ — [47] Ἠλεῖ

τὸ πᾶν εἰπεῖν ὡς πατήρ, ἐξ οὗ ἐκεῖνοι μὲν αὐθημερὸν ἀπεσφάγησαν, ὁ δέ γε πατήρ, ὡς ἐκ τῆς βίβλου τῶν Βασιλειῶν ἀνελεξάμην, ἀπὸ τοῦ δίφρου κατενεχθείς, διὰ τὴν κιβωτόν, διὰ τοὺς υἱοὺς τέθνηκεν· ἀλλὰ καλῶν αὐτὸν ἐξ ὀνόματος, ὡς ἐκεῖνος ἐν μεσονυκτίῳ τὸν Σαμουήλ, καὶ δευτέρου τούτῳ τὴν κλῆσιν, ὡς ἐκεῖνος τῷ Σαμουήλ· καὶ συμψαλλέτω σοι· καὶ ἐν τοῖς ὄρθροις συμμελετάτω τὰ εἰς θεόν. οὐδὲ γὰρ οἶδά σε παννύχιον εὕδοντα, ἀλλὰ κατακούοντα τοῦ Δαυὶδ καὶ ἐξεγειρόμενον μεσονύκτιον καὶ ἐξομολογούμενον τῷ θεῷ ἐπὶ τὰ κρίματα, ὡς ἐκεῖνος τῆς δικαιοσύνης αὐτοῦ. τοῦ δὲ παιδὸς ἐγὼ μελεδωνὸς τῶν εἰς διατροφὰς καὶ σκεπάσματα· μόνον τὴν ἐπ' αὐτῷ ἐπιμέλειαν χαρίζου ἡμῖν καὶ ἐν τοῖς κατὰ βρῶσιν καὶ πόσιν ὑπηρετήτω σοι καὶ ἐν μηδενὶ τῶν κατ' οἶκον ἔστω ἀργόν, καὶ μηδὲ παραχωρείσθω ῥεμβάζεσθαι, ὁποῖον τούτου τὸ ἦθος ἡμεῖς κατελάβομεν· καὶ ἀγάπησον τοῦτον καὶ παράδεξαι ἐκ τοῦ μαστιγοῦν. τὰ μὲν οὖν ἐμὰ περὶ τοῦ παιδὸς ἐς τοσοῦτον καὶ παίγνια καὶ σπουδάσματα· σὺ δέ, ὡς εἰσοίσεις τούτῳ πάντα τὰ κάλλιστα, καὶ θαῤῥῶ καὶ πεπληροφόρημαι. χαρίζου μοι τὰς εἰς θεὸν προσευχάς, ἐξ ὧν ἐμοὶ καὶ τὸ σωθῆναι περιγενήσεται +

101

Bl. 73 b

Τῷ πανεντιμοτάτῳ καὶ ἐν Κυρίῳ ἀγαπητῷ μου υἱῷ κῦρ Δημητρίῳ τῷ Εὐγενιώτῃ + + ὁ Ναυπάκτου Ἰωάννης +

Ἐντιμότατε καὶ ἐν Κυρίῳ ἀγαπητέ μου υἱὲ κῦρ Δημήτριε· ὅσα περὶ τοῦ σταλέντος ἡμετέρου παιδὸς πρὸς τὸν σὸν αὐτάδελφον καὶ ἡμέτερον ἐν Κυρίῳ συναδελφὸν τῇ αὐτοῦ παρεδηλώσαμεν ἁγιότητι, ἔξεστί σοι ἐκ τοῦ πρὸς ἐκεῖνον γράμματος ἀναδιδαχθῆναι· ἀξιοῦμεν δὲ καὶ σὲ παντοίως ἐπιμεληθῆναι τοῦ ἡμετέρου τούτου παιδὸς εἰς τὸ τὰς ψήφους παιδευθῆναι καὶ τὴν διαγωγὴν ῥυθμισθῆναι· καὶ τὸν μισθὸν || (Bl. 74 a) τῆς παιδεύσεως ἐγὼ ἀποδώσω. καὶ ἔχω ἰδεῖν τὸν καλόν μου κῦρ Δημήτριον, πῶς ἐπιμεληθήσεται τούτου· τὸν γὰρ δεσπότην, ὡς πλέον ὄντα τοῦ θεοῦ καὶ τῆς πρὸς αὐτὸν ἀνατάσεως, συνορῶ, μὴ τὸ πᾶν τῆς ἐπιμελείας νέμειν αὐτῷ· τὸ γοῦν ἀπὸ τούτου ὑστέρημα ὁ ἐμὸς ἐπὶ τῷ παιδὶ ἀναπληρούτω Δημήτριος, ῥαβδίζων αὐτόν, μαστιγῶν, προπηλακίζων, καὶ πᾶσαν ἐπάγων αὐτῷ ἐπιτίμησιν διὰ τὸ τοῦ ἤθους καὶ διακεχυμένον καὶ ἄπηκτον. + ἡ χάρις τοῦ θεοῦ μετὰ σοῦ +

102

Bl. 74 a

+ Τῷ πανιερωτάτῳ Βονδίτζης + + ὁ Ναυπάκτου Ἰωάννης +

Πανιερώτατε Βονδίτζης καὶ ἐν Κυρίῳ συναδελφέ· ἡμᾶς ὁ θεὸς διὰ τῶν πρεσβειῶν τοῦ μεγάλου πατρὸς Νικολάου καὶ τῶν σῶν προσευχῶν καὶ ἐν τῷ περᾶν καὶ ἀντιπερᾶν εἰς τὴν Ἄρταν κινδύνου ἐῤῥύσατο· καὶ ἐσμὲν μετὰ τῶν

100 [53] εὔδοντα

5 ζώντων, καὶ διδόαμεν εἴδησιν τῇ ἁγιωσύνῃ σου, ἵνα, ἐὰν ἔχῃς θέλημα ἰδεῖν ἡμᾶς, κοπιάσῃς εἰς τὴν Ἀβαρνίτζαν. ἰδὼν δὲ εὐθὺς ἐν τῇ ἐκπλοῇ τὴν πρὸς τὸν κῦρ Θεοφύλακτον περὶ τοῦ παιδοπούλου σταλεῖσαν γραφήν σου, ἄλλον διπλοῦν ἀπέθανον θάνατον· καὶ ἃς μάθω κατὰ σπουδὴν περὶ τούτου· ἡ ἁγία σου εὐχὴ μεθ' ἡμῶν. νὰ ἦλθον δὲ καὶ ἐγὼ εἰς προσκύνησιν τῆς Θεοτόκου καὶ
10 εἰς ἐπίσκεψιν τοῦ παιδοπούλου, εἰ μὴ κατάβροχος ἐγενόμην ἐν τῇ θαλάσσῃ καὶ κατάκοπος ἐκ τοῦ ὧδε κἀκεῖσε τὸ μονόξυλον μεταῤῥίπτεσθαι +

103

Τῷ αὐτῷ Βονδίτζης + Bl. 74

Πανιερώτατε Βονδίτζης καὶ ἐν Κυρίῳ συναδελφέ· ἐλπίς μοί ἐστιν εἰς θεὸν ὑγιαίνειν τὴν σὴν ἁγιότητα καὶ μεμνῆσθαι καὶ τῆς ἡμῶν εὐτελείας καὶ ἀθλιότητος. ζῶμεν καὶ αὐτοί, εὐθυμοῦντες μὲν οὐδέποτε, δυσθυμοῦντες δὲ καὶ ζωὴν
5 ἐπίλυπον διανύοντες· τὰ γὰρ κατὰ Ναύπακτον λυπηρὰ καὶ τὰ ἀπὸ τῶν ἐφ' ἡμᾶς ἐπαχθῆ ὀδυνῶσι μου τὴν ζωὴν καὶ τὸ εὔθυμον ὑποτέμνουσι. τέως καὶ οὕτως ἐχόντων ἡμῶν, ἢ θεόθεν ἢ οἴκοθεν ἐπέπεσέ μοι μέγα μερίμνημα· ἡ τῆς ἐκκλησίας δηλονότι καὶ τῶν ὑπ' αὐτὴν ἀναποίησις· καὶ πονούμεθα περὶ ταῦτα, καὶ καινοτομούμεθα περὶ ταῦτα, καὶ δεόμεθα τῶν εὐχῶν σου εἰς τὸ πληρῶσαι πάν-
10 τα, καὶ οὕτω τῶν ἐν μέσῳ ἀπαλλαγῆναι. ὃ καὶ νῦν ἐποίησα ἄν, εἰ μὴ ὄνειδος ἔμελλον ἀφῆναι τοῖς μεθ' ἡμᾶς, ὡς πολυωρήσας ἐπισκοπικῶς ἐν Ναυπάκτῳ καὶ μὴ τῶν ἔσω ὡς καὶ τῶν ἐκτὸς ἐπιμελησάμενος. ὅθεν, τοῖς μετ' ἐμὲ ἐρχομένοις μὴ φθονῶν, πᾶσι χεῖρα ἐπιμελείας ἐπέβαλον· θεοῦ δέ ἐστι καὶ τῆς ὑπεράγνου τούτου μητρὸς τελειῶσαι τὰ πάντα· εἰ γὰρ παντὶ προαιρουμένῳ τὸ
15 ἀγαθὸν συνεργεῖ ὁ θεός, θαῤῥῶ, ὡς καὶ ἡμῖν ἀρωγὸς ἔσται ἀσχολουμένοις περὶ τὴν τοῦ ναοῦ αὐτοῦ περιποίησιν. εἰ δὲ καὶ τὸν ἐξ Εὐρίπου ἱστοριογράφον Νικόλαον ἴσχυσα ἐνταῦθα καταγαγεῖν, αὐτίκα ἔθυσα τῷ θεῷ θυσίαν αἰνέσεως· δέονται γὰρ ἱστορίας τὰ πτερύγια τοῦ ναοῦ καὶ οἱ νάρθηκες. σὺ δὲ διατί ῥιγᾷς, ὡς ἀκούω; εἰ μὲν ἀρεταίνεις, καὶ ῥίγα καὶ πείνα καὶ δίψα, ἵνα
20 τὸν βίον σου κοσμήσῃς ἐξ ἀρετῆς· εἰ δ' ἐκ τοῦ μὴ ἔχειν, οὐκ ἦν ἀρνειακὴ γοῦνα καὶ λινοῦν ἔνδυμα, ὥστε μὴ τὸν ἐμὸν ῥιγᾶν Νικόλαον; ἐμὲ δὲ πότε ἐνδύσῃς, ἐὰν σὺ γυμνητεύῃς; ζῆθι δὲ ὅμως καὶ ἐνδύσῃ καὶ ζήσῃ καὶ περισσὸν ἕξεις. χαρίζου μοι τὴν ἐκ προσευχῶν περιποίησιν +

104

[Πρὸς τὸν Βονδίτζης]

Πανιερώτατε Βονδίτζης καὶ ἐν Κυρίῳ συναδελφέ· ἀπηλλαγμένον εἶναί σε εὔχομαι συναντημάτων ἀνιαρῶν καὶ τῶν βιωτικῶν περιστάσεων, ὅπερ, οἶμαι, Bl. 74

102 [5] θέλημ(αν) — [6] ἀβαρνῖτζ — [8] ἃς — [11] ὧδε
103 [7] μερϊμνημνα — [10] ὄνειδον — [19] ἀρεταίν(ης) — [23] ἕξεισ
104 Die in [ ] stehenden Wörter mein Nachtrag — [1] ἀπηλαγμ(ένον)

ἀδύνατον· ἐφάπαξ γὰρ ἀποφηναμένου θεοῦ τὴν πάντων θλῖψιν καὶ κάκωσιν, ἀνάγκη πάντας τοῖς βέλεσι τῶν λυπηρῶν περιπείρεσθαι· καθὰ καὶ ἡμεῖς ἐκ τῶν ἔξω, ἐκ τῶν ἐντός, σκοποί ἐσμεν πρὸς οὓς οἱ πάντες τοξεύουσι. καὶ ἀπείρηκα, 5 *οἶδε θεός, καὶ τὴν ψυχὴν ἀπολέγομαι· ζῶ δὲ ὅμως ἔτι, πόνους μὲν οὐκ ἔχων ποδαλγικούς, νάρκωσιν δὲ τῶν ποδῶν, ὑφ' ἧς οὐδὲ βαδίζειν δύναμαι. καταμερίζομαι δὲ καὶ εἰς τὴν τοῦ ναοῦ τῆς μητροπόλεως περιποίησιν, κατασαθρωθέντος ἐκ χρόνων καὶ ἐκ σεισμῶν· καὶ ὁ θεὸς ὁ καὶ ἐν τούτῳ δοξαζόμενος δώῃ διὰ τῶν σῶν προσευχῶν ἀνακαινισθῆναι, οἷς ἐπεβάλομεν χεῖρα. ἐπαύξει δέ μοι τὰ λυ-* 10 *πηρὰ καὶ ἅπερ ἀκούω λαλεῖν καὶ μελετᾶν κατ' ἐμοῦ τὸν θεοχειροτόνητον Ἄρτης· καὶ δώῃ καὶ αὐτῷ ὁ θεὸς ἀντάξια τῆς αὐτοῦ προαιρέσεως. ὁ δὲ παρὼν ἐμὸς κληρικὸς ἔρχεται πρὸς τὴν σὴν ἱερότητα, κατὰ τὴν σήν, ὡς λέγει, ὑπόσχεσιν, διδάξων αὐτόθι παπαδικά. ἔνι δὲ ἱεροψάλτης ἔντεχνος καὶ τὰς βίβλους τῆς ἱεροψαλτικῆς ἐκμελετήσας εἰς ἐπιστήμην. εἰ γοῦν καὶ σὺ θελήσεις αὐτὸν* 15 Bl. 74b *παρακατασχεῖν, γενέσθω διὰ σὲ ἡ τούτου ἐν Βονδίτζῃ || παραμονή· εἰ δὲ μή, πρὸς τὸν πατέρα πάλιν ἐπανελθέτω. ἐοίκατε δέ μοι πάντες οἱ Εὐβοεῖς ἀποστερητικῆς ὑπάρχειν τῆς διαθέσεως. διατί γὰρ ἕως τοῦ νῦν οὐκ ἐστάλη μοι τὸ ἄλογόν μου σελλοχαλινωμένον, ὥςπερ ἐδόθη σοι; γογγυστικῆς γὰρ εἶναι τοὺς νησιώτας ψυχῆς ἑκὼν παρίημι. ἔμαθες δέ, ὅτι σύνοδον μελετᾷ κατ' ἐμοῦ καὶ* 20 *κομνηνικὴν ἀκρόασιν ὁ θεοχειροτόνητος Ἄρτης, ὡς τοῦτο μεγαλαυχεῖ, ὁ λογιώτατος, ὁ εὐγενέστατος· καὶ ταῦτα ἀκούων, τὴν μὲν ψυχὴν δάκνομαι, πλατύνω δὲ καὶ τὸν γέλωτα, ὅτι τῆς βρώσεώς μου οὔσης ἔτι ἐν τῷ στόματι αὐτοῦ ἀδολεσχεῖ καὶ δείκνυσιν, ὁποίας ἐστι ψυχῆς, ἀχαρίστου δηλονότι καὶ πονηρᾶς. καὶ αὐτὸν μὲν ἡ δίκη δικαίως μετελεύσεται, σὺ δέ μοι δαψίλευε προσ-* 25 *ευχὰς ὑπὲρ ἐξιλασμοῦ τῶν πλημμελημάτων μου. ἡ ἁγία σου εὐχὴ μεθ' ἡμῶν* +

105

[*Πρὸς τὸν Βονδίτζης*]

Bl. 74b *Πανιερώτατε Βονδίτζης καὶ ἐν Κυρίῳ ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ· ἡ μονὴ τοῦ Σωτῆρος τῶν Σφετῶν ἐστιν, ὡς γινώσκεις, ὑπὸ τὴν καθ' ἡμᾶς ἁγιωτάτην μητρόπολιν, καὶ περὶ τούτου ἀμφιβολία μὴ ἔστω σοι. ἔγωγε οὖν μὴ ἐπιχωριάζων ἐν Βονδίτζῃ, μηδὲ διὰ τὴν τοπικὴν ἀπόστασιν ἐπισκέπτεσθαι τὰ κατ' αὐτὴν δυνάμενος, γράφω ἀδελφικῶς τῇ ἁγιωσύνῃ σου κοπιᾶσαι εἰς τὴν* 5 *μονὴν συνελθεῖν σοι ὀφείλοντος καὶ τοῦ ἐν ἀνθρώποις καλλίστου καὶ μεγαλοδοξοτάτου καστροφύλακος Βονδίτζης τοῦ Ὀψαρᾶ, καὶ κατασκέψασθαι μὲν τὴν κατάστασιν τῆς μονῆς καὶ τὴν τοῦ ναοῦ ἐπιμέλειαν καὶ φωταγωγίαν, εἶτα καὶ περὶ τῶν προσόδων τοῦ μοναστηρίου θέσθαι φροντίδα, ἐὰν ὦσιν ἀρκοῦσαι τρισὶ καὶ τέσσαρσι μοναχοῖς (ὁ δὲ σήμερον ἐκεῖσε καλόγηρος οὐκ ἔχει* 10 *μὲν μοναχούς, μόνος δὲ καθήμενος ἰδιοῦται τὰ ὁθενδήποτε εἰσοδήματα τῆς*

104 [8] *θλῖψϊν* — [17] *ἐνοςς* — [19] *σελοχαλινομ(έν)(ον)*
105 Die in [ ] stehenden Wörter mein Nachtrag — [5] *κοπϊάσαι*

μονῆς) καὶ ἐὰν ἀπηγορευμένα πρόσωπα τοῖς κανόσιν ἐν τῷ μοναστηρίῳ διάγωσιν. εἰ γοῦν ταῦτα τὰ δύο εὑρήσετε, τὴν ἰδίωσιν δηλαδὴ τῶν τῆς μονῆς εἰσόδων ὁποιανοῦν εἰς ἑαυτὸν μόνον ποιοῦντα τὸν μοναχόν, καὶ τὰ τοῖς κανόσιν
15 *ἀπᾴ⟨δο⟩ντα πρόσωπα ἐν τῇ μονῇ, ὡς ἀκούω, ἀναστρεφόμενα, τὸν μὲν μοναχὸν ἐκεῖθεν μετακινήσατε καὶ πρὸς ἡμᾶς ἀποστείλατε, τὴν δὲ μονὴν καὶ τὰ ὑπ' αὐτὴν παράδοτε ἀπεντεῦθεν πρὸς τὸν τιμιώτατον ἐν μοναχοῖς καὶ ἡμέτερον δεσπότην καὶ ἀδελφὸν κῦρ Διονύσιον τὸν Εἰρηνικόν, ποιήσαντες καὶ τὴν παράδοσιν ἔγγραφον, καὶ τὴν δήλωσιν τῶν ὑπὸ τὴν μονὴν ἁπάντων. ἡ ἁγία σου*
20 *εὐχὴ χαρισθείη μοι.*

106

Τῷ πανυπερεντιμοτάτῳ δεσπότῃ μου καὶ κατὰ θεὸν ἀγαπητῷ ἀδελφῷ Bl.
κῦρ Κλήμεντι τῷ Μονομάχῳ + + ὁ Ναυπάκτου Ἰωάννης +

Ἐλάσαντί μοι πρὸς γῆρας καὶ θανάτου γενομένῳ ἀπάρτι ἐγγύς, πολλὰ καινὰ ὤφθησαν καὶ ἀκοῇ παρέλαβον ἕτερα· ὁποῖον δὲ ὁ νῦν μοι χρόνος ἐγνώρισε,
5 *καινότερον τῶν καινῶν, τὸ δ' ἀληθὲς εἰπεῖν, τῶν εἰς γέλωτα κινούντων γελοιωδέστερον, τοῦτο δὴ διάχυσιν ἐμποιοῦν, οὐκ ἔκρινα δεῖν, μὴ καὶ τὴν σὴν ἀκοὴν καταγλυκάνω τῷ διηγήματι. ἔχει δὲ οὕτως· ἔστι μὲν ἐν μοναχοῖς αἰδέσιμος ὁ τῶν Ἰωαννίνων ἀρχιμανδρίτης, οὐκ ἀποκρύψομαι τὴν ἀλήθειαν, οὐ καθάψομαι τοῦ βίου τοῦ μοναχοῦ, τὰ δ' ἄλλα, ὡς ἔδειξεν, ἢ τῶν ἀπραγμόνων*
10 *οὗτος ἀπραγμονέστερος ἢ τῶν ἀνοήτων ἀνοητότερος· τάχα δὲ καὶ τοὺς ᾀδομένους ἐπὶ ἀνοησίᾳ Λειβηθρίους ὑπερνικᾷ· δέον γὰρ ὂν τὸν μονώτην βίον ἑλόμενον τὸν ἄνδρα τοῦτον, ἡσυχάζειν καθ' ἑαυτὸν καὶ προκόπτειν ἐν θεῷ καὶ παρ' ἀνθρώπων θαυμάζεσθαι· ὁ δέ, καθὰ ἄνθρωπος ἁλοὺς καὶ αὐτὸς τῇ φιλοδοξίᾳ, ἔπαθε μὲν ἀνθρώπινόν τι, τὸν ἔρωτα τοῦ ἐπισκοπῆσαι· καθότι πολλὰς ἐπι-*
15 *κρεμαμένας ἑαυτῷ φέρει τὰς τῶν ἁμαρτημάτων ληκύθους ὁ πονηρός, καὶ ἄλλος ἄλλῳ ἁλισκόμεθα πόματι. ἀνθρώπινον οὖν, εἰ καὶ ὁ μέχρι δεῦρο ἐπαινετὸς μοναχὸς ἑνὸς αὐτῶν ἀπεγεύσατο, καὶ οὐ κακίζω τὴν ἐκτροπήν· ἀνθρώπινον γὰρ τὸ πάθος καὶ συγχωρητέον, ὅτι ἀνθρώπινον. καὶ κἂν ἔδει τοῦτον ἀναλογίσασθαι, ὡς πᾶς προφήτης εἰς τὴν ἰδίαν χώραν ἄτιμός ἐστιν. ἀλλὰ συγχωρητέα*
20 *ἡμῖν καὶ ἡ λήθη τούτου τοῦ κυριακοῦ παραγγέλματος· οὕτως οἶδα παρόρασιν νέμειν ἀνθρωπίνοις παθήμασιν. τὸ δὲ πρὸ τοῦ πράγματος καὶ τῆς κανονικῆς ἀκολουθίας τὰ τέλη ζητεῖν, τοῦτο ἐστὶ τὸ καὶ εἰς γέλωτά με κινοῦν καὶ εἰς κατάγνωσιν ἀνοησίας τοῦ μοναχοῦ· ἔδει γὰρ αὐτὸν ἠρεμεῖν παρ' ἑαυτῷ καὶ τῇ κέλλῃ αὐτοῦ, καὶ συνελθεῖν ἐπισκόπους καὶ ψῆφον γενέσθαι καὶ ἀκολούθως*
25 *προβῆναι μήνυμα, εἶτα καταδοχήν, εἶτα χειροτονίαν· ὁ δέ, τούτων ἁπάντων οὐδενὸς γενομένου, μετὰ μοναχῶν οὐκ ὀλίγων ἦλθεν εἰς τὴν μητρόπολιν καὶ χειροτονηθῆναι ζητεῖ παρὰ μόνου ἐμοῦ. ἆρ' οὖν, ὦ ἀκέραιε τῇ φρονήσει, οὐ*

[*105 [15] *ἀπᾴ⟨δο⟩ντα* G. Papadimitriu (vgl. oben Z. 12 *ἀπηγορευμένα*): *ἅπαν* with superscript *τα* (d. i. *ἅπαντα*)]
106 [4] *ἀκοὴ* — [5-6] *γελοιοδέστερ(ον)* — [14-15] *ἐπϊκρεμαμέν(ους)*

γελοῖον τοῦτο καὶ καινότερον τῶν καινῶν, καὶ τοῦ ἐπισκοπῆσαι οὐκ ἄξιος ὁ οὕτω φρονῶν; μᾶλλον δέ, οὐκ ἀξίως ἐπελέγη ὁ ὀρνιθόφρων οὗτος καλόγηρος; κάθηται γοῦν ἐν τῇ μητροπόλει, 30

[Das Blatt, worin die Fortsetzung stand, ist ausgefallen.]

107

Bl. 75a *Τοῦ αὐτοῦ Ναυπάκτου, πρὸς τὸν ἀρχιητρὸν κῦρ Κωνσταντῖνον* +

Ἰατρικὴ μέν σοι τὸ ἐπιτήδευμα καὶ ἡ τέχνη κατ᾽ ἀκρίβειαν, ἀποπτύεις δὲ καὶ τὰ γαλήνεια διὰ στόματος, καὶ σοφός μοι φαίνῃ παρὰ πολλούς, εἴ γε σοφία τὰ Γαληνοῦ. ἀλλ᾽ ἐν τούτῳ τῷ χρόνῳ, κατὰ τὴν ἐνεστῶσαν περίστασιν, ἤθελον ἀνίατρον εἶναί σε οὐχ ὡς ἀποβαλέσθαι τὴν τέχνην, ἀλλ᾽ ὡς μηδένα τῶν 5 *ἡμετέρων ἐν τῷ πολέμῳ βεβλῆσθαι, καὶ παρὰ τοῦτο μὴ χρείαν ἔχειν τοῦ ἰατρεύοντος. εἰ δ᾽ οὐ χωρὶς αἱμάτων πόλεμος ἅπας, καὶ ὅτι καὶ φιλαίματος τοῖς ποιηταῖς ὁ πόλεμος ὀνομάζεται, ἀλλά, τὸ τῆς θείας Γραφῆς, τοὺς πολεμίους ἤθελον τραυματίας εἶναι τῆς ἡμετέρας μαχαίρας, οὐδένα δὲ τῶν ἡμετέρων μηδὲ δρυφθῆναι τὸ δέρμα, ἵν᾽ ὁ ἐμὸς Κωνσταντῖνος ἰατρὸς καλοῖτο μόνῃ τῇ* 10 *κλήσει, τῇ πράξει δὲ οὐδαμοῦ· ἀλλὰ νόμιζε τῇ διανοίᾳ εἶναί με μέρος ἡμῶν, καὶ τὸ τῆς μάχης ὁρᾶν ἑτεροκλινὲς καὶ ἐπὶ τοῖς ἡμετέροις τραυματίαις παθαίνεσθαι· καὶ τούτους μὲν ἀποθαυμάζειν τῆς εὐτολμίας καὶ γενναιότητος, τὸν δὲ σὸν Κωνσταντῖνον τῆς ἐπιδεξίου ἰατρικῆς. δύο δέ μοι φαίνεται τῶν πολέμων αἴτια εἶναι, πλεονεξία καὶ ἁμαρτία. πολεμούμεθα γὰρ ἡμεῖς ἁμαρ-* 15 *τήσαντες, οἱ δὲ πολεμοῦντες διὰ πλεονεξίαν ὅπλα ἐγείρουσι· πατάσσει δὲ καὶ ὁ Κύριος ἡμαρτηκότας τοὺς πάλαι ἐν ἰκτέρῳ καὶ ἐν πυρώσει καὶ ἐν σφακελι-*
Bl. 75b *σμῷ· καὶ τὴν ἐμὴν γενεὰν διὰ ἐφόδων ἀλλογενῶν.* || *ἐγὼ δὲ λογίζομαι καὶ ὁ λογισμὸς ἀστεμφής, ὅτι, ὡς ἡ προπατορικὴ κατάρα εἰς πάσας ἕως ἄρτι διαβαίνει τὰς γενεάς, οὕτω καὶ τὸ ἐμὸν ἁμαρτητικὸν παραλυπεῖ τοὺς πολλούς.* 20 *εἰ γὰρ ἐγὼ ἄνθρωπος ἦν, τὸ δὲ ὄνομα τοῦτο εἰς ἔπαινον πρῶτον κεῖται καὶ τῷ Ἰώβ, ἄνθρωπος γάρ φησιν ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι, ᾧ ὄνομα Ἰώβ, καὶ μετὰ τὸν πρῶτον ἔπαινον τοῦτον ἀπαριθμεῖται τὰ κατορθώματα, τὸ δίκαιον δηλονότι, τὸ ἀληθινὸν καὶ τὸ ἄμεμπτον καὶ τὴν τοῦ πονηροῦ παντὸς ἀποχήν· καὶ ὁ θεός, ποιήσωμεν, φησίν, ἄνθρωπον, οὐ τοιόνδε τὸν τρόπον, ἐπάγει γὰρ* 25 *ἐκ τῶν ἐφεξῆς τὸ κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν· ταῦτα δὲ ἀντίληψις καὶ περιοχὴ ἀρετῶν· εἰ γοῦν ἄνθρωπος ἦν τοιοῦτος ἐγώ, οὐκ ἂν πλεονέκτης μὲν Ἰταλὸς ἀπανίστατο τῆς πατρίδος, θάλασσαν δὲ ἔπλεεν, ἐπέβαινε δὲ ἀλλοτρίας, Ἄρης δὲ ἠγείρετο πολεμόκλονος, στρατιώτης δὲ ἔπιπτεν, ἐζητεῖτο δὲ ἰατρὸς καὶ χειρουργία τετίμητο, πρᾶγμα τὸ συνεχὲς διαλῦον καὶ αὖ-* 30 *θις ἑνοῦν, καὶ ξυρὸς τὴν ἕνωσιν διιστῶν καὶ συνειλῶν τὸ διεστηκός. καὶ κἂν*

106 [28] *καινῶν; καὶ* — [29] *καλόγηρ(ως)*
107 [2] *κατ(ὰ)* — [5] *οὐχ᾽ ὡσ* — [19] *ὅτϊ ὡσ [ὅτ* nach Korrektur aus *ὡσ]* — [29] *πολεμήκλονος* — [30] *δϊαλύον* — [31] *συνολῶν*

τις τοὺς ἰατροὺς δημίους ἐμμίσθους εἶναί φησι διὰ τὸν ξυρόν, διὰ τὴν τομήν, ἀλλ' ἐγὼ καὶ τὸν εὑρετὴν τῆς τομῆς μακαρίζω καὶ τοὺς τομέας ἀποθαυμάζομαι, ὅτι σάρκα μὲν οἰδαίνουσαν τέμνουσιν, ὀστέα δὲ θλῶσι καὶ διαιροῦσι τὰ
35 συνεχῆ καὶ τὰς διεχείας αὖθις ἑνοῦσι καὶ τὰ διαιρέματα συμβιβάζουσι. περὶ μὲν οὖν πολέμων καὶ ἰατρῶν τοσαῦτα εἰρήσθω· νοείτω δὲ πᾶς, ὡς θεόθεν ἡμῖν ἡ μῆνις καὶ τὰ δεινά· ἰδοὺ γὰρ καὶ πόλεμος ἕτερος ἐν τοῖς ἀλόγοις ἐνταῦθα καὶ ζωοφθορία καθολική· καὶ θρηνοῦσι μὲν γεωργοί, ὡς τῶν πόνων αὐτῶν ἀπολλυμένων καὶ τῶν καρπῶν, οὐ γὰρ ἔχουσι δι' ὧν τὰ δράγματα συμπατήσουσι.
40 καὶ περιστρεφεῖς μὲν τῶν θερισμάτων αἱ ἅλωνες, ὁ δὲ ἀλοῶν βοῦς οὐκ ἔστιν· ὁ μὲν γὰρ ὄζει θανών, ὁ δὲ πνέει τὰ τελευταῖα, ἕτερος οὐ δίδωσι τοῖς ὁρῶσι γνῶσιν τοῦ ἀποθνήσκειν. καὶ ἀναβαίνει ὁ βρῶμος αὐτῶν καὶ ἡ σαπρία αὐτῶν, τὸ τοῦ προφήτου εἰπεῖν, ἕως εἰς οὐρανόν. ἐντεῦθεν δὲ οὐδὲ τὰ δέρματα ἀποδέρονται· σαπροῦνται γὰρ ἐκ τοῦ παρευθὺ καὶ ἡ δυσώδης ἀποφορὰ
45 οὐ συγχωρεῖ τὴν ἀπόδαρσιν. καὶ μολύνεται μὲν ὁ ἀήρ, δυσπνοῦσι δὲ ἄνθρωποι. καὶ παροδίτης ἢ χεῖρα ἢ ὀθονίδιον ἐπιτίθησι ταῖς ῥισίν, ὡς μὴ φθαρέντα σπάσας ἀέρα μετάσχῃ τοῦ ἀῤῥωστήματος. ἤδη δέ τινες εἰς τὰς ἅλως χοίρους εἰσήλασαν, ἵνα μικρόν τι συντριβῇ τὸ γεώργιον γενόμενον χοιροπάτητον. ἕτεροι ῥάβδον ῥάβδῳ συνδήσαντες, ὡς ἑκατέρας διέχειν σπιθαμιαίᾳ τῇ
50 σχοίνῳ, τὴν μὲν χειροκρατοῦσι, τὴν δὲ τῶν καταστρωμάτων καὶ τῶν καρπῶν καταφέρουσι, καὶ τὸν ἐνιαύσιον πόνον τῶν δυστυχῶν γεωργῶν πόνοι οὗτοι βαρύτεροι διεδέξαντο· ἡλίκον γὰρ εἰς κόπον καὶ σώματος ἀγανάκτησιν ἐν ἡλίῳ φλογώδει πανημέριος ἀνάνευσις ἀνδρὸς καὶ κατάνευσις. ἐν γὰρ τῷ ἀνατείνειν καὶ κατατείνειν τὴν ῥάβδον ταῖς μεταβολαῖς σχηματίζεται τῶν ἐναντίων φο-
55 ρῶν· καὶ ἔστιν ἡ θεομηνία μεγάλη. καὶ ποῖον πρῶτον θρηνήσωμεν, τὴν μανίαν τῶν Ἰταλῶν ἢ τὰ ἐκ θεομηνίας ἀνιαρά; καὶ πλείη μὲν γαῖα κακῶν, πλείη δὲ θάλασσα, σοφός τις ἔλεξε παλαιὸς καὶ ὁ παρὼν ἐνιαυτὸς ἐξετέλεσεν. ἀλλὰ τοὺς μὲν καθ' ἡμῶν Ἰταλοὺς πατάξοι Θεὸς ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ. καὶ ὡς ἐποίησε πολλὰ σημεῖα καὶ τέρατα ἐν πολλοῖς ἐν χειρὶ τοῦ
60 κραταιοῦ Κομνηνοῦ καὶ νῦν ποιήσοι κατὰ τὸ αὐτοῦ ἔλεος, καὶ ὑποτάξοι τούτῳ πάντα ἐχθρόν, καθελεῖ δυνάστας, συντρίψοι βραχίονας τοὺς καθ' ἡμῶν αἰρομένους, ἅρματα, ἵππον πολεμικὴν τῶν καθ' ἡμῶν μαινομένων εἰς λάφυρον τῷ κράτορι τῶν ἡμετέρων ἀποχαρίσαιτο, καὶ ἐνδοξασθήσεται τὸ μέγα ὄνομα τούτου ἐν τοῖς ἅρμασι τῶν ἐχθρῶν, καὶ ἐν αὐτοῖς τοῖς ἐχθροῖς. ὑμεῖς δὲ
65 καὶ οἱ συγκακοπαθοῦντες τῇ κομνηνικῇ ὑψηλότητι, παρακαλεῖτε τὴν τούτου ψυχὴν ἀνακτᾶσθαι παρηγορητικαῖς παρακλήσεσι· λαλεῖτε, ὡς αἱ μεγάλαι ἀρχαὶ εἰς πολέμους κεῖνται καὶ ἀντιστάσεις. θεὸς δὲ τοὺς εἰς αὐτὸν ἠλπικότας οὐ καταισχύνει, παρακαλέσει δὲ καὶ παραμυθήσεται τῇ ἀπωλείᾳ τῶν ἐναντίων. καὶ ὡς τοῦ παλαιοῦ προεπολέμει Δαβίδ, οὕτω καὶ τοῦ νέου τούτου καὶ
70 ἡμετέρου προπολεμήσοι, καὶ δώσοι τούτῳ τοὺς ἐχθροὺς αὐτοῦ νῶτον ἢ οὐδὲ τοῦτο, ἀλλὰ πτῶσιν καὶ θάνατον καὶ ἀναίρεσιν καὶ σφαγήν· καὶ τὸν νέον ἡμᾶς

107 [40] ἀλοῶν — [42] βρώμο(ς) — [46] παροδοίτ(ης) — [47] μετάσχει — [49] ῥᾶυδον ῥάνδω — σπιθαμϊαῖα — [54] ῥαῦδον — [55] θρηνήσομεν — [56] γαία — [58] κραταιὰ — [65] παρακαλεῖτ(αι)

Ἰσραὴλ διὰ τοῦ νέου Δαβὶδ τῆς τούτων κακουργίας λυτρώσαιτο. σὺ δὲ τοῦ Ναυπάκτου μέμνησο φιλοῦντός σε ἐκ ψυχῆς.

108

[Ohne Eingang.]

Bl. 76a *τοῖς μέρεσι· καὶ πρόσφορος προσφορά, τῷ τελείῳ τὰ τέλεια· ἀλλὰ τὰ ἓξ καὶ τὰ ἕξ, δώδεκα πάντως· ὁ δώδεκα δὲ πλείω τὰ μέρη ἔχει τοῦ ὅλου· ἓξ γὰρ πάντως τὸ ἥμισυ τοῦ δώδεκα· τὸ τρίτον τέσσαρα· τὸ τέταρτον τρία· τὸ ἕκτον δύο· τὸ δωδέκατον ἕν. ὁρᾷς, ὅπως ἀδώρως τὰ δῶρα ἐπαύξω σοι· καὶ τὴν παπαδικὴν καὶ ἡμετέραν σφιγγίαν, ἀριθμητικῇ μεθόδῳ, εἰς πλουσιότητα μετατί-* 5 *θημι. ἀλλὰ θῦσον καὶ φάγε· Πέτρου καὶ τῶν συναποστόλων πάντως ἡ ἑορτὴ τὴν ζῳοθυσίαν προτρέπεται, ὃς καὶ αὐτὸς τὴν ὀθόνην εἶδε καθιεμένην ἐξ οὐρανοῦ, τέσσαρσι μὲν ἀρχαῖς δεδεμένην, ἐέργουσαν δὲ ἐντός, ὅσα καθαρὰ τῶν τετραπόδων καὶ πετεινῶν καὶ ὅσα ἀκάθαρτα καὶ θύσειν καὶ φαγεῖν ἐγκελεύεται. ἀλλὰ καθέλκουσι τὸν νοῦν οἱ πόνοι πρὸς ἑαυτούς· καὶ ἤθελον πρὸς* 10 *διάχυσιν πλατύναι σοι τὴν γραφήν· ἀλλὰ τὸ ἐγγύθι κακὸν προτιμότερον εἰς φροντίδα τοῦ πόῤῥωθεν ἀγαθοῦ* +

109

[Ohne Adressatangabe.]

Bl. 76b *Παρεκλήθην ὁπωσοῦν τὸ γράμμα σου χειρισάμενος· ἐνέχομαι γὰρ νόσοις, ἐνέχομαι τοῖς κατὰ Ναύπακτον λυπηροῖς· καὶ διεδέξατο τὴν ἀπὸ τοῦ καλλίστου Μονομάχου παρηγορίαν ἡ ἀπὸ τῆς γραφῆς σου παράκλησις. τὰ Ἰωάννινα δὲ οὐ θεάσονταί μου τὸ πενιχρόν, ἀλλ' οὐδ' ἐγὼ τὴν τούτων λαμπρότητα· κεῖταί μοι γὰρ ἐν στενῷ τὸ ἀπὸ τῆς τρίτης τοῦ ἀπριλλίου ἕως τῆς τῶν ἑορτῶν ἑορτῆς με-* 5 *σολάβημα τοῦ καιροῦ· καὶ μέμνημαι νόστου, καὶ μὴ σκυλῇς· ἔσο μοι δὲ δαψιλεύων ἐπιστολὰς καὶ συμπληθύνων εὐχάς σου. αὗται γὰρ κατὰ τὴν ψυχὴν ἐργάσονταί μοι περίσσειαν. κηρίου δὲ καὶ χαρτίων ἐν τῷ παρόντι οὐκ ἐπιδέομαι. ἀλλὰ μὴ παρὰ τοῦτο σὺ τὴν ἀπὸ τῶν τοιούτων ἐπίσχῃς δεξίωσιν· ὅσον γὰρ ἐρημοπολίτης εἰμὶ καὶ κατὰ τὸ ἀκόλουθον ὀλιγόβιος, τοσοῦτον ἄμφω ταῦτα τὰ εἴδη* 10 *πυρὶ καταναλισκεταί μοι καὶ μέλανι. ἐπὶ δὲ τὰς ἐμὰς πρὸς τὸν δεσπότην τὸν Μονομάχου εὐχαριστίας πρόσθες καὶ σὺ τὰ εὐχάριστα· πολυτρόπως γὰρ καὶ ἐθεράπευσεν ἡμᾶς καὶ ἐδεξιώσατο. ἡ ἁγία εὐχή σου μεθ' ἡμῶν.*

110

[Ohne Adressatangabe.]

Bl. 77b *Λέγουσιν οἱ πολλοὶ τότε τὸν νοῦν ὀδύνειν, ὅτε τὸ σῶμα νοσεῖ· καὶ τῆς δόξης ταύτης αἰτίαν ἐπάγουσι τὸ τηνικαῦτα τῶν αἰσθητηρίων ἀρέμβαστον· τῶν ἡσυχαζόντων, φησί, καὶ κατακεκλιμένου τοῦ σώματος, ὁ νοῦς εἰς ἑαυτὸν συστρεφό-*

108 [3] *τὰ ἥμϊσυ*
110 [1-3] *τότε ... δόξης* und *ἀρέμβαστον ... καὶ* infolge einer Rasur sehr undeutlich

μενος ὑγίειαν ὥσπερ ἔχει τὴν συστροφὴν καὶ γεννητικόν ἐστιν ἐς τὰ μάλιστα.
5 Πλάτων δὲ τῇ δόξῃ ταύτῃ στεῤῥῶς ἀντιφέρεται· ἐν οἷς γὰρ λέγει δύνασθαι μηδένα ἐν πένθει γεωμετρεῖν, πᾶσαν ἐνέργειαν λογικὴν διὰ τῆς γεωμετρίας, οἶμαι, συνέστειλε. καὶ τούτῳ μᾶλλον ἐγὼ τίθεμαι, πείρᾳ μαθὼν τὴν γνώμην ταύτην ἐπαληθίζουσαν. εἰ γάρ τινος ὡς ἐμοῦ νόσους βαρείας τὸ σῶμα νοσεῖ, ἐξ ὧν ὀδύναι δρυμεῖαι εἰςδύνουσι τὴν ψυχήν, καὶ διὰ τὸ δύσφορον κέκραγεν,
10 ὡς καὶ τοὺς πόῤῥω τῆς κραυγῆς ἐνωτίζεσθαι· πῶς αὐτίκα τούτου ὁ νοῦς ἀπολίπῃ μὲν τὸ παθαινόμενον σῶμα καὶ τῶν ὀδυνῶν οὐκ αἰσθήσεται καὶ ὡς οὐδενὸς μὲν ἐπὶ τῷ συντρόφῳ τούτου γεγονότος ἀνιαροῦ αὐτὸς διακείσεται, καίτοι χώραν αὐτῷ τὸν ἐγκέφαλον ἡ φύσις ἀπεκληρώσατο, καὶ τοῦτον ὥςπερ ἐνεῖρξεν ταύτῃ καὶ ἠσφαλίσατο· ἀμήχανον οὖν τὸν αἰσθητικώτατον νοῦν μὴ
15 τῶν παθημάτων τοῦ συνδέσμου αἰσθάνεσθαι, ἀλλ' αἰσθητικὸν μὲν εἶναι καθ' ἑαυτόν, τὸ δὲ μέρος τοῦτο ἀναίσθητον. ἕτεροι δ' οὖν ὡς αὐτοῖς βουλητὸν τὰ περὶ τούτων φιλοσοφείτωσαν· ἐμοὶ δὲ οὕτω συνέβη, ἀμβλίσκειν ἄρτι τὸ λογιζόμενον καὶ ὡςανεὶ γεννᾶν ἀμβλωθρίδια, ὡς καὶ δοκεῖν λίθον βαρὺν ἐγκεῖσθαι τῇ κεφαλῇ καὶ παίειν ὥςπερ καὶ φαντασίαν καὶ νοῦν καὶ τὸ τῆς μνήμης πινάκιον.
20 ὅθεν καὶ βραχεῖς ὑφαίνω σοι λόγους καὶ τούτους τὰ εἰς ὑγίειαν σου εὐκτικούς· ἔραμαι γὰρ τοὺς ἐμὲ φιλοῦντας, μὴ ταὐτοπαθεῖν τῷ φιλοῦντι, μηδ' ὅτι φιλοῦσι καὶ τῶν συμφορῶν κοινωνεῖν. τί δὲ ἀνῆψας δᾷδας πάντως ἐπιγαμίους, τὸν ὑμέναιον ᾖσας, ἐσκίρτησας, ἐπεκρότησας, τἆλλα ἐτέλεσας πάντα, ὅσα τῶν ἐπιγαμίων μέρος τὸ κράτιστον; ἄρτι δὲ πῇ ποτε γῆς διάγεις καὶ ποῖον μέ-
25 ρος ταύτης διέρχῃ; ἢ πάντως, ὁποῖον ὀπαδὸς ἐγγίζων τῷ βασιλεῖ, τούτου τὴν οἰκείωσιν πλουσιωτέραν οἶδα ἢ τὸ πάρος ἔχειν σε. συννυψοῦσι γὰρ αἱ ὑψώσεις ἑαυτοὺς τοὺς οἰκείους καὶ συναναίρουσιν εἰς ὕψος δόξης καὶ ἀξιώματος. ἐγὼ δὲ νοσῶ καὶ νοσήσω· τοῦτο γάρ μοι δίδωσιν ἐννοεῖν τὸ δυσπαθὲς τοῦ σαρκίου καὶ τὸ εὐκταῖον κακόν. τοῦ βαρύνοντος καὶ τοῦ κατανόσου συν-
30 τήκοντος ἀκόλουθον πάντως τὸ διὰ βίου κλινο[*πετ(ὲς?)]

[Die Fortsetzung fehlt.]

111

Τοῦ Ναυπάκτου πρός τινα ἀρχιμανδρίτην [*ἱερομόναχον 'Ιωαννίκιον.*] + Bl.

Τιμιώτατε ἀρχιμανδρῖτα καὶ ἡμῖν ἀγαπητὲ πνευματικὲ υἱέ, ἱερομόναχε 'Ιωαννίκιε, ἐμάθομεν τὰ κατά σε, ὅπως σιδήροις καὶ χειροπέδαις ὁμοίαις τὸ σῶμα βαρυνθεὶς εἰς πύργον ζοφῶδες καὶ Χαρώνειον ἄντικρυς κύτος ἐναποῤῥιφεὶς
5 ἀποκέκλεισαι. καὶ ἐλυπήθημεν οὐ μετρίως, οὐχ ὅτι σὺ λύπης ἄξια πάσχεις, μὴ οὕτως σχοίημεν ἀνοήτως, μὴ δ' οὕτως ἕξοι καλῶς τὰ τῆς λύπης, ὡς παρασαλεῦσαι τοῦ ἀσφαλοῦς τῆς εἰς θεὸν ἡμῶν πίστεως τὴν ἡμετέραν διάνοιαν καὶ λυπηρὰ νομίζειν τὰ πολλῆς ὄντως ἡμῖν ἐσόμενα πρόξενα χαρᾶς καὶ ἀγαλλιά-

110 [4] γενητ(ικ)ὸ(ν)—[17] φϊλοσοφήτωσ(αν)—[18] βαρῦν—[22] δάδ(ας)—[23] ἦσαν—[25] ὀπαδὸσ
111 [1] [ ] Mein Nachtrag — [2] ἀρχϊμανδρῖτα — [4] κύτο(ς) — [5] οὐχ' so unten

σεως, εἰ μόνον εὐχαρίστως ταῦτα καὶ καρτερικῶς ὑπομένομεν καὶ ὑπὲρ τῶν λυπούντων εὐχόμεθα. οὐχ ὅτι γοῦν σιδηροφορεῖς ἀξίως τῆς ἐκκλησίας, μᾶλλον δὲ 10
τῆς ἀληθείας ὑπερμαχῶν καὶ διὰ τοῦτο δεδεμένος, ὡς νομιζόμενος δύσχρηστος, ἀλλ' ὅτι κατὰ συγχώρησιν θεοῦ διὰ τὰς ἐμάς, ἀσφαλῶς οἶδα καὶ πέπεισμαι, ἁμαρτίας τὸ πολυειδὲς τοῦτο τῶν θλίψεων τοῖς ἡμετέροις ἐπάγεται. τοῦτό μου μέσης ἅπτεται τῆς καρδίας καὶ δυσφόρητον ἢ καὶ παντελῶς ἀνύποιστόν μοι κατεργάζεται τὸ ὀδυνηρόν. διὰ τί γὰρ ἐμοῦ καθ' ἑκάστην τὸν 15
θεὸν παροργίζοντος, ἄλλος ἀντ' ἐμοῦ τὰς εὐθύνας εἰςπράττεται καὶ μὴ ἐπ' ἐμὲ μᾶλλον τὸν καὶ πάσης ὄντως κολάσεως ἄξιον ἡ τιμωρητικὴ μάστιξ ἐπανατείνεται μηδαμῶς; ὦ δίκαιε πάντων ἡμῶν κριτὰ καὶ θεέ, γενέσθω δὴ ἡ χείρ σου ἐπ' ἐμὲ μᾶλλον + +

ΠΡΟΣΘΗΚΑΙ ΚΑΙ ΠΑΡΑΤΗΡΗΣΕΙΣ

Ἡ ἔκδοσις τῶν ἀνεκδότων κειμένων τοῦ Ἰωάννου Ἀποκαύκου ὑπὸ τοῦ *Ν. Α. Βέη*, βασιζομένη ἀποκλειστικῶς εἰς τὸν κώδικα Petrop. gr. 250, οὐδέποτε ἔλαβεν ὑπ᾿ αὐτοῦ τὴν ὁριστικὴν ἐπεξεργασίαν της, ὡς δὲ καὶ ἀνωτέρω ἐδηλώθη (σελ. κ΄), παραδίδεται ἐνταῦθα ἐκ τῶν καταλοίπων του, ὑφ᾿ ἣν ἀκριβῶς εὑρέθη μορφήν. Αἱ ἐλάχισται περιπτώσεις, καθ᾿ ἃς δὲν κατέστη δυνατὸν ν᾿ ἀποτραπῇ ἡ παρέμβασις τοῦ σημερινοῦ ἐκδότου, δηλοῦνται ρητῶς κατωτέρω εἰς τὸν οἰκεῖον καθ᾿ ἕκαστα τόπον.

Εἰς τὴν διάθεσίν μας ἐξ ἄλλου εὑρίσκονται ἤδη πλήρη μικροφίλμς τῶν κωδίκων Petrop. gr. 250 καὶ Hieros. 276, πλήρης σειρὰ φωτοαντιγράφων τοῦ κώδικος Vatic. gr. 1891, ὡς καὶ αἱ φωτογραφίαι τοῦ κώδικος Petrop. gr. 251[1]. Οὕτω κατέστησαν δυναταὶ αἱ ἀντιβολαί, ἀφ᾿ ἑνὸς μὲν τῶν ἀπογράφων *Βέη* πρὸς τὸν Petrop. gr. 250, ἀφ᾿ ἑτέρου δὲ τῶν ἀντιστοίχων κειμένων τῶν ἄλλων κωδίκων.

Τὰ ἀποτελέσματα αὐτῶν τῶν ἀντιβολῶν (ὑπὸ τὸν ἐπὶ μέρους τίτλον ΔΙΑΦΟΡΑΙ) παρατίθενται ἐνταῦθα ὡς ΠΡΟΣΘΗΚΑΙ ΚΑΙ ΠΑΡΑΤΗΡΗΣΕΙΣ, εἰς τὰς ὁποίας ἐπίσης περιελήφθησαν:

Ἀναγραφαὶ τῶν κωδίκων, οἵτινες διασώζουν τὸ ἑκάστοτε ἐκδιδόμενον κείμενον (ὑπὸ τὴν ἔνδειξιν ΧΕΙΡΟΓΡΑΦΑ ἢ ΧΦΦ.).

Ἐκδόσεις τμημάτων τῶν κειμένων, ἅτινα παραδίδονται μὲν ὡς ἀκέφαλα, κολοβά, ἢ ἐλλιπῆ εἰς τὸν Petrop. gr. 250, διασώζονται ὅμως εἰς τοὺς λοιποὺς κώδικας (=ΚΕΙΜΕΝΑ).

Ἀναγραφαὶ τῶν ἐκδόσεων τῶν τυχὸν ἐν τῷ μεταξὺ δημοσιευθέντων κειμένων (=ΕΚΔ.).

Χρονολόγησις τῶν ἐκδιδομένων κειμένων, ὅπου τοῦτο κατέστη δυνατὸν (=ΧΡΟΝΟΛ.).

Ἀναγραφὴ βιβλιογραφίας ἀφορώσης εἰς τὰ ἐκδιδόμενα κείμενα ἢ εἰς σχετικὰ θέματα (=ΒΙΒΛΙΟΓΡ.).

Ἡ ἀρίθμησις ἀντιστοιχεῖ πρὸς αὐτήν, ἣν φέρουν τὰ κείμενα εἰς τὴν ἐκ τῶν καταλοίπων τοῦ *Ν. Α. Βέη* ἔκδοσίν των (ἀνωτ. σελ. 57–160).

---

1. Εὐχαριστῶ καὶ πάλιν τὴν Διεύθυνσιν τῆς Δημοσίας Βιβλιοθήκης τοῦ Leningrad (Publičnaja Biblioteka, im. Saltykova-Ščedrina) διὰ τὴν ἀποστολὴν μικροφὶλμ τοῦ κώδ. Petrop. gr. 250 (βλ. ἀνωτ. σελ. ις΄, σημ. 1), καθὼς καὶ τοὺς κ. κ. *Λέανδρον Βρανούσην* (Petrop. gr. 251), *Μανόλην Χατζηδάκην* (Hieros. 276) καὶ *Κωνστ. Ντόκον* (Vatic. gr. 1891), φροντίδι τῶν ὁποίων κατέστη δυνατὴ ἡ προμήθεια φωτογραφιῶν τῶν ἐν λόγῳ κωδίκων. Ἐπίσης εὐχαριστῶ τὸν κ. *Γ. Α. Παπαδημητρίου*, διὰ τὰς παρ᾿ αὐτοῦ ἐπενεχθείσας εἰς τὸ κείμενον φιλολογικὰς διορθώσεις (= Πδμτρ.).

1

(ἀνωτ. σελ. 57, βλ. καὶ σελ. 9, ἀριθ. 2)

ΧΕΙΡΟΓΡΑΦΑ: P φ. 4α, ἀκέφαλον.—H φ. 59β–60α, πλῆρες· ἐπιγράφεται: *Διαζύγιον*.— V φφ. 59α, 59β–60α. Εἰς τὸ φ. 59α ὁ τίτλος (ἀρχ.: *τοῦ πανιερωτάτου*... τελ.: *ἑτέρων*..., κατωτ. στ. 1–4) προφανῶς ἐλλιπὴς περὶ τὴν ἀρχήν, ἄνευ τῶν συνήθων χρονολογικῶν ἐνδείξεων. Εἰς τὸ αὐτὸ φύλλον, καὶ μετὰ τὰς λέξεις *ἐν ᾧ*, ὁ γραφεὺς τοῦ κώδικος παρέλειψε μέρος τοῦ κειμένου (ἀπὸ τὰς λ. *καὶ παροικεῖ* μέχρι τῶν λ. *Εἰρήνην, καί*..., βλ. κατωτ. στ. 6–8), δι' ὃ καὶ μετ' ὀλίγας λέξεις (στ. 9: *αὐτίκα τοῦ νομίμου*) διέκοψε τὴν ἀντιγραφήν, τὸ ὅλον δὲ κείμενον ὑπὸ τὸν τίτλον *σημείωμα διαζυγίου*, ἄνευ τῶν περαιτέρω, ἀντέγραψεν εἰς τὸ ὄπισθεν φύλλον 59β.— Τὰ λοιπὰ κείμενα τοῦ φ. 59α ἔχουν γραφῆ δι' ἄλλης χειρός.— Βλ. πανομοιότ. ὑπ' ἀριθ. I.

ΚΕΙΜΕΝΑ: Ἀνωτέρω, σελ. 57, τὸ ὑπ' ἀριθ. 1 κείμενον, ἐκδιδόμενον βάσει τοῦ Petrop., εἶναι, ὡς ἐλέχθη, ἀκέφαλον.— Παρατίθεται ἐνταῦθα, ἐκδιδομένη βάσει τῶν κωδίκων H καὶ V, ἡ ἐλλείπουσα ἀρχή:

V φφ. 59β, 59α *Σημείωμα διαζυγίου· || [μηνὶ... ἰνδικτιῶνος..., ἐπὶ παρουσίᾳ] τοῦ πανιερωτάτου ἐπισκόπου Ἰωαννίνων ἀδελφοῦ ἡμῶν καὶ συλλειτουργοῦ κῦρ Νεοφύτου· τοῦ πανσεβάστου καὶ μεγάλου λογαριαστοῦ κῦρ Κωνσταντίνου τοῦ Μελισσηνοῦ· τοῦ μεγαλοδοξοτάτου κῦρ Ἰωάννου τοῦ Μανικαΐτου, καὶ ἑτέρων.*

V φ. 59β, H φ. 59β *Ἱερεύς τις ἐκ τῆς τῶν Ἰωαννίνων περιοικίδος, ὄνομα τούτου Μιχαήλ, Καλούδης ἐπώνυμον, οἴκησις χωρίον Λευσίστα*[1]*, ἐν ᾧ καὶ παροικεῖ, εἰς ὄψιν ἡμῖν ἐγένετο σήμερον, καὶ ἐπὶ συνέδρων τῶν ἄνωθεν ταῦτα ἀπεστομάτισεν· ὡς ἔσχε θυγατέρα Εἰρήνην, καὶ πρὸ χρόνων ἤδη ἡμίσεος καὶ τριῶν, οὖσαν αὐτίκα τοῦ νομίμου χρόνου τῆς ἡλικίας, ἀνδρὶ συνηρμόσατο, Κωνσταντίνῳ μὲν ὄνομα· τίς δὲ οὗτος ἀνδρῶν, καὶ ποία τούτῳ πόλις πατρίς, καὶ τίνων ἔφυ τοκέων, ἔφησε παντάπασιν ἀγνοεῖν. αὐτὰ δὲ μόνον εἷλξαν αὐτόν, φησίν, εἰς τὸ κηδεῦσαι τούτῳ τὴν αὐτοῦ θυγατέρα, τὸ τοῦ Κωνσταντίνου γοργὸν ἐν ἀναστροφαῖς, τὸ ἐπίχαρι πρόσωπον, καὶ τὸ θεράποντα φαίνεσθαι ὀτρηρόν*[2]*, τοῦτο δὴ τὸ τοῦ ποιητοῦ, ἐν ταῖς κατ' οἶκον ὑπηρεσίαις. διὰ δὴ ταῦτα τὴν θυγατέρα τούτῳ εἰς γάμον ἐξέδοτο. ἀλλ' ἡ ἐπιφαινομένη, φησίν, εὐστροφία καὶ τὸ περὶ τὰ πρακτικὰ ὀξυκίνητον ἐναργὴς φενάκη ἐφάνησαν. ἀφεὶς γὰρ βίον ζῆν τὸν ἀγρότην καὶ περὶ γῆν κυπτάζειν καὶ αὔλακα καὶ ἄροτρόν τε καὶ ὕνιν μεταχειρίζεσθαι καὶ πονεῖν περὶ ἃ καὶ ὁ πενθερὸς καὶ ὅσοι τούτῳ οἰκογενεῖς, ὁ δὲ ἀλλά, θέμενος παρὰ φαῦλον τὴν μετὰ πόνου ζωὴν καὶ*

1. Νῦν *Λαψίστα*, παρὰ τὸ βορειοδυτικὸν στόμιον τῆς λίμνης τῶν Ἰωαννίνων. Εἰς χρυσόβουλλον τοῦ ἔτους 1321: *χωρίον τὴν λαυσίσταν*· πρβλ. *Λ. Βρανούση*, Χρονικὰ τῆς Ἠπείρου, σελ. 59, σημ. 2· αὐτόθι, σελ. 58–63 περὶ τῶν διαφόρων ἐκδόσεων τοῦ ἐν λόγῳ χρυσοβούλλου.

2. Ἰλ. Α. 321, Ὀδ. Α. 109, Δ. 23.

I. Κῶδιξ Vatic. gr. 1891, φ. 59α

τὸ «ἐν ἱδρῶτι τοῦ προσώπου ἄρτον ἐσθίειν»[1], *τὰ μέχρις ἡμῶν καταβάντα ταῦ-* 20
τα τῆς προπατορικῆς ἀρᾶς ἐπιτίμια, βίον ἄλλον καὶ ἄλλην δίαιταν ᾑρετίσατο. ἦμαρ δηλονότι παρ' ἦμαρ ἄλλῳ καὶ ἄλλῳ ὑπηρετεῖν, καὶ μηδὲ τούτοις ἐπὶ καιρὸν, ἀλλὰ κατὰ [τὴν συνέχειαν βλ. ἀνωτ. σελ. 57, ἀριθ. 1].

Κριτικὸν ὑπόμνημα εἰς τὸ ἐνταῦθα ἐκδιδόμενον κείμενον:

Στ. 1-4 ὁ τίτλος *Σημείωμα διαζυγίου* καὶ τὰ μετὰ ταῦτα μέχρι καὶ τῆς λ. *ἑτέρων* μόνον ἐν V: ἐν H παραλείπονται, τεθέντος μόνον τοῦ τίτλου *Διαζύγιον*. [Τὰ ἐντὸς ἀγκυλῶν ἡμετέρα προσθήκη].

Στ. 5 *τις* H: *τὶς* V || *τῶν* παραλείπει H || 6 *καὶ* παραλείπει V || 12 *αὑτοῦ*: *αὐτοῦ* VH || 16 *πρακτικὰ* V: *πρακτέα* H || *φενάκη*: *φαινάκη* VH || 18 *ὕνιν*: *ὕννιν* VH || 20 *τὸ*: παραλείπει H || 21 *ᾑρετίσατο* H: *ἡρετίσατο* V || 22 *ἄλλῳ καὶ ἄλλῳ* V: *ἄλλα καὶ ἄλλα* H.

ΔΙΑΦΟΡΑΙ τῆς ἀνωτέρω, σελ. 57, ἐκδόσεως καὶ τῶν κωδίκων V καὶ H ὡς πρὸς τὸν P. Ἡ στιχαρίθμησις ἀναφέρεται εἰς τὸ κείμενον ὑπ' ἀριθ. 1, σελ. 57.

Στ. 1 *ἐφ' ἑτέρου* P V: *ἀφ' ἑτέρου* H || 2 *ὑπηρέτει*: *ὑπηρέ*... P, τοῦ χάρτου ὄντος ἀποτετριμμένου: *ὑπηρέτησεν* VH || 4 *[τὰ]*: *καὶ τὰ* V: *τὰ* H || 5 *ἠρώτα*: *ἠρώτ*... P: *ἠρώτησε* V: *ἠρώτα* H || 6 *ἐπὶ θυγατρὶ*: διορθωτέον *ἐπὶ τῇ θυγατρὶ* P V H || 12 [...] χάσμα ἐν P τοῦ χάρτου ὄντος ἀποτετριμμένου: *τόπου* V H || 13 *διόλου*: διορθ. *δι' ὅλου*: *διόλου* PV: *δι' ὅλου* H 17 *βίου καὶ*: *καὶ* παραλείπει V || 19 *αὐτοῦ*: *ἑαυτοῦ* H || *ὁ Κωνσταντῖνος ἄφαντος*: *ἄφαντος ὁ Κωνσταντῖνος* H || 20 *οὕτως*: *οὕτω* H || 21 *καὶ ἐπεδόθη*: παραλείπει H ὑπάρχοντος κενοῦ ἰσαρίθμων γραμμάτων.

ΧΡΟΝΟΛ.: Πρὸ τοῦ 1217/8, ἂν κρίνῃ τις ἐκ τῆς θέσεως ἣν κατέχει τὸ κείμενον ἐν τῷ P ἀμέσως πρὸ ἐπιστολῆς τοῦ Ἀποκαύκου «... πρὸς τὸν ἁγιώτατον Ἀθηνῶν τὸν Χωνιάτην, ὅτε ἀπὸ τῆς Κέω ἦλθεν εἰς τὴν ἐν τῇ Μουντινίτζῃ μονὴν τοῦ Προδρόμου...», βλ. ἀνωτ. σελ. 9, ἀριθ. 3. Διὰ τὴν χρονολογικὴν τάξιν τῶν κειμένων ἐν τῷ P βλ. *L. Stiernon*, Origines (B), σελ. 198, καὶ *Ἑ. Βέη-Σεφερλῆ*, Ὁ χρόνος στέψεως τοῦ Θεοδώρου Δούκα..., ἀνωτ. σελ. 273 καὶ 279, σημ. 1 τοῦ παρόντος τόμου. Διὰ τὴν χρονολογίαν ἀφίξεως τοῦ Μιχαὴλ Χωνιάτου εἰς τὴν μονὴν τοῦ Προδρόμου, βλ. *G. Stadtmüller*, Michael Choniates... (Orient. Christ. XXXIII-2, No 91), 1934, σελ. 205 κ. ἑ.

ΒΙΒΛΙΟΓΡ.: *R. Guilland,* Études sur l'histoire administrative de l'Empire Byzantine... Le Logariaste... εἰς Jahr. d. Öst. Byz., 18 (1969), σελ. 112, σημ. 132.

2

(ἀνωτ. σελ. 57-58, βλ. καὶ σελ. 9-10, 13)

ΧΦΦ.: P φ. 8α, ἀκέφαλον.— B φ. 324β, πλῆρες· ἐπιγράφεται: *σημείωμα ἐπὶ τῇ μέσον τοῦ Ναυπάκτου καὶ δεσπότου καταλλαγῇ*.— V φφ. 66α-67β,

1. Γέν. 3. 19.

(πρβλ. ἀνωτ. σελ. ιθ΄) πλῆρες· ἐπιγράφεται: *σημείωμα.*— Η φφ. 64β-65β, πλῆρες, ἐπιγράφεται: *Σημείωμα κρισιμόγραφον.*

ΕΚΔ.: *Κεραμεύς*, Ἀναλ. Ἱερoσ. Σταχ., Δ΄ (1897), σελ. 121-123, ἀριθ. 39, τὸ ὅλον σημείωμα κατὰ τὸν Η·— *τοῦ αὐτοῦ*, Ἀχριδηνά, σελ. 229, σημ. 2 (διορθώσεις).— *Pétridès*, σελ. 93 [25], ἀριθ. XXIV, γραφαὶ Β.

ΚΕΙΜΕΝΑ: Παραθέτομεν τὴν ἐκ τοῦ Ρ ἐλλείπουσαν ἀρχήν, ὥστε νὰ εὑρίσκεται ἐν τῇ παρούσῃ ἐκδόσει τὸ ὅλον κείμενον τοῦ σημειώματος. Ἐκδίδομεν βάσει τῶν κωδίκων VH καὶ Β, διευκρινίζεται ὅμως, ὅτι ἡ χρῆσις τοῦ Β δὲν προέρχεται ἐξ αὐτοψίας τοῦ κώδικος, ἀλλ' ἐκ τοῦ ἔργου τοῦ *Pétridès*, ἔνθ' ἀνωτ , σελ. 93 [25]. Κ=ἔκδοσις ὑπὸ *Κεραμέως*, ἔνθ' ἀνωτ.

Σημείωμα ἐπὶ τῇ μέσον τοῦ Ναυπάκτου καὶ δεσπότου καταλλαγῇ. Β φ. 324β

Πολλὰ πολλοῖς ἐνεποίησεν ὀχληρὰ ἡ τῶν ἀνεξετάστων ἀκουσμάτων εὔκολος V φ. 66α,
εἰσδοχή· οἱ γὰρ πολλοὶ τῶν ἀνθρώπων κακόχολοί τινες ὄντες καὶ φίλεχθροι, Η φ. 64β
μὴ μόνον τὰ αὐτοῖς ἀκουστά, ἀλλ' ἤδη καὶ τὰ ἀνήκουστα τοῖς ἀκουσθεῖσι συν-
5 *τιθέντες καὶ συνυφαίνοντες τοῖς κατά τι διαφερομένοις μετὰ προσθήκης ταῦ-*
τα καὶ σχετλιασμῶν ἐνίοτε προσαγγέλλουσι. || *καὶ οὗτοι δέον ὂν τῷ κριτηρίῳ* V φ. 66β
τοῦ λογισμοῦ παραδιδόναι ταῦτα τὰ ἀκουστὰ καὶ κατεξετάζειν αὐτὰ καὶ λε-
πτολογεῖν ἐν αὐτῷ, καὶ τὰ μὲν ἀληθείας ἐχόμενα μετὰ πρᾳότητος προσονει-
δίζειν τῷ καταλέγοντι, τὰ δέ γε ψευδῆ ἀποῤῥίπτειν ἐς κόρακας καὶ λύειν οὕ-
10 *τω τὸν ἐκ τῶν τοιούτων ἀκουσμάτων χόλον καὶ τὴν ὀργήν, οἱ δὲ ἁπαξαπλῶς*
τοῖς πᾶσι πιστεύοντες τὰ χείριστα καταπράττονται. διὰ ταύτας οὖν τὰς εἰσ-
ηγήσεις ὁ πανευτυχέστατος κύριος ἡμῶν ὁ Δούκας κῦρ Κωνσταντῖνος καὶ
ὁ μητροπολίτης Ναυπάκτου, ὁ μὲν ἐπὶ τῷ μητροπολίτῃ μεγάλα χολάνας,
οὗτος δὲ κατὰ τὸ εἰκὸς μεγάλην ἔχων τὴν ἐκ βαρυθυμίας σκληρότητα,
15 *ἀσυμβάτως πρὸς ἀλλήλους εἶχον καὶ τὸ σύμπαν ἀκαταλλάκτως. τὴν σήμε-*
ρον δὲ ὁ μὲν πανευτυχέστατος Δούκας τῆς ἐξουσιαστικῆς ὑψηλότητος μικρὸν
ὑποκαταβάς, ὁ δέ γε ἀρχιερεὺς νουνεχόντως ὑποπεσών, τοὺς χειμάῤῥους
τῶν ποταμῶν ἀμφότεροι ἐμιμήσαντο, οὓς χαράδραι μὲν ἐν τῷ τέως καὶ
χειμῶνες ἐκμαίνουσι, μετὰ δέ γε μικρόν, τῆς πλημμύρας ὀλιγωθείσης, || *καὶ* Η φ. 65α
20 *παισὶν εὐπέρατοι γίνονται, ἤ, τὸ τῆς ἐξωτερικῆς σοφίας, ὀλίγην μὲν τὴν ἔριν*
ταύτην ἐγείραντες πρότερον καὶ πρὸς οὐρανὸν ὡσανεὶ τὴν ταύτης κάραν στηρί-
ξαντες, ἐπὶ γῆς ἐς ὕστερον ἔθεντο διὰ τὴν ἐκ τῆς εἰρήνης συνέλευσιν. Καὶ κατέ-
θεντο ἐφ' ἡμῶν καὶ τῶν ἀναγεγραμμένων συνέδρων ἔχειν τὸν μὲν μητροπο-
λίτην πρὸς τὴν ἐξουσίαν, ὡς καὶ πρὸ τοῦ, τὸ τιμητικὸν καὶ τὸ κατὰ δύναμιν
25 *θεραπευτικόν, αὐτὴν δὲ πρὸς τὸν ἀρχιερέα καὶ τὸ αἰδῆμον καὶ τὸ σεβάσμιον,*
δυσωπούντων τὴν ἐξουσίαν τῆς θείας ἱερωσύνης καὶ τοῦ ἐπιλάμποντος γήρως
αὐτῷ, λογιζομένην [τὴν συνέχειαν βλ. ἀνωτ. σελ. 57, ἀριθ. 2].

Στ. 1 ὁ τίτλος κατὰ τὸν Β: ἐν Η *σημείωμα κρισιμόγραφον*: ἐνῷ ἐν V ἁπλῶς *σημείωμα*: Κ *(Σημείωμα κρισιμόγραφον τῆς περὶ τὸν μητροπολίτην Ναυπάκτου συνόδου).*

στ. 2 *ἐνεποίησεν* V B: *ἐποίησεν* H K || 3 *κακόχολοί* V H: *κακόσχολοί* B || *φίλεχθροι* V H: *φιλέχθροι* B || 4 *ἀλλ' ἤδη* V B: *ἀλλὰ δὴ* H K || 6 *προσαγγέλλουσι* H B: *προσαγγέλουσιν* V || 6-7 *τῷ κριτηρίῳ τοῦ λογισμοῦ* V H: *τοῦ λογισμοῦ τῷ κριτηρίῳ* B || 8 *αὐτῷ* V H B: *ταὐτῷ* K || *ἐχόμενα* H B: *εἰχόμενα* V || 8-9 *προσονειδίζειν* V H: *ὀνειδίζειν* B || 9 *δέ γε* V B: *γε* παραλείπει H K || 10 *τὸν ἐκ τῶν τοιούτων* V H B: *τὸν αὐτῶν [ἐκ] τοιούτων* K || *οἱ δὲ* V H B: *οἷδε* K || 11 *διὰ ταύτας οὖν τὰς* V: *διὰ τὰς τοιαύτας οὖν* H K: *τὰς* παραλείπει B || 12 *κύριος ἡμῶν ὁ Δούκας κῦρ Κωνσταντῖνος* V: *κύριος ἡμῶν Κωνσταντῖνος ὁ Δούκας* H: *κύριος ἡμῶν ὁ Δοῦκας κῦρις Κωνσταντῖνος* B: *κῦρις ἡμῶν Κωνσταντῖνος ὁ Δούκας* K || 13 *μεγάλα* V H: *μέγα* B || 14 *μεγάλην ἔχων* V H: *μεγάλως σχὼν* B || 15 *ἀσυμβάτως* V B: *ἀσυμβάντως* H K (βλ. διόρθωσιν εἰς *Κεραμέα*, Ἀχριδηνά, ἔνθ' ἀνωτ.) || 18 *ἐμιμήσαντο* V H: *ἐμεμήσαντο* B || 19 *δέ γε* V H: *γε* παραλείπει B || 22 *τὴν ἐκ τῆς* V H B: *τὴν αὐτῆς* K || *κατέθεντο* V H: *κατέθετο* B || 23 *τὸν μὲν* V B: *μὲν* παραλείπει H K || 26 *γήρως* H B: *γήρους* V.

Διαφοραὶ τῶν κωδίκων V H καὶ B ὡς πρὸς τὸν P. Ἡ στιχαρίθμησις παραπέμπει εἰς τὴν ὑπὸ τοῦ *Βέη* ἔκδοσιν, ἀνωτ. σελ. 57-58. K = ἔκδοσις ὑπὸ *Κεραμέως*, ἔνθ' ἀνωτ., σελ. 122-123.

Σελ. 57, στ. 3 *καὶ τὸ εἰς* P V B: *εἰς* παραλείπει H K || 5 *καὶ λοιδορίαν* P V H: *ἢ λοιδορίας* B || 6 *θάτερον θατέρῳ* P V H B: *θάτερος θατέρῳ* K || 6 *προσαναγγέλλειν*: *προσανέλλ''* P: *προσαγγέλειν* V B H K || 7 *ἐλεγχομένης* P V H: *ἐλεγχομένου* B || Σελ. 58, στ. 8 *ποτὲ γλῶσσαν* P V H: *ποτε τὴν γλῶσσαν* B || *ἢ πρὸς* P V B: *ἢ* παραλείπει H K || 10 *σύνθεμα* P V: *σύνθ(ε)μα* H ἀμφίβολον: *σύνθημα* K || 11 *ἀποβουκόλησις* P H: *ἀποβουκόλῦσις* V || *ἀποτροπὴ* P V B: *ἀνατροπὴ* H K || 13 *ἥκοντα* P H B: *ἦκοντα* V || *κατὰ Ναύπακτον* P V H: *Ναυπάκτου* B || 14 *δηλονότι* P V B: *δηλ(α)δ(ὴ)* H: *δηλαδὴ* K || 17 *δὲ καὶ* P V H: *δέ τε* B || 19 *τούτοις* P V H B: *ταύτης* K || 20 *πατουμένων* P V H: *ἀπαιτουμένων* H || 22 *ἀψιμαχίας*: *ἀψιμαχίας* P V: *ἀψιμαχίας* H || 23 *ἐμφανίσαι* P V H: *ἐμφανῆσαι* B || 24 *δημοσίων* P V H: *δημοσιακῶν* B || 29 *χώραν* P V H B: *χώρας* K || 30 *μέρεσι* P V H: *μέρεσιν* B. Εἰς τοὺς κώδικας P V B τὸ κείμενον περατοῦται κανονικῶς καὶ ἄνευ χασμάτων εἰς τὴν λ. *μέρεσι*: ἐν H μετὰ τὴν λέξιν αὐτὴν ὑπάρχει ἐνδεικτικὸν σημεῖον τοῦ τέλους ἑνὸς κειμένου (:~), ἐν τῇ ἀμέσως ὅμως ἑπομένῃ σειρᾷ ἐγράφη: *μηνὶ μαΐῳ ἐπὶ παρουσίᾳ τῶν πανιερωτάτων ἀρχιερέων καὶ ἀδελφῶν ἡμῶν καὶ συλλειτουργῶν, τοῦ Θερμοπυλῶν κῦρ Μιχαὴλ καὶ ἑτέρων:* — (βλ. πανομοιότ., ἀριθ. II). Εἶναι λίαν ἀμφίβολον, κατὰ πόσον τὰ ἀνωτέρω ἀφοροῦν εἰς τὸ κρισιμόγραφον σημείωμα. Πιθανώτατα πρόκειται περὶ καταχωρήσεως ἐν τῷ κώδικι μέρους μόνον ἐκ τῆς ἀρχῆς ἄλλου γράμματος, πρᾶγμα ἄλλωστε συνηθέστατα ἀπαντώμενον ἐν τῷ Hierosol. 276 (βλ. ἐνδεικτικῶς πανομοιότ. ἀριθ. III, πρβλ. καὶ ἀνωτ. σελ. ιθ' σημ. 1). Ὁ *Κεραμεὺς* ὅμως, ἐκδίδων τὸ σημείωμα — βάσει τοῦ H, δεδομένου ὅτι ἐν P παραδίδεται ἀκέφαλον καὶ τὰ κείμενα δὲν εἶχον ταυτισθῆ — ἐθεώρησεν ὡς ἑνιαῖον ὅλον τὸ περιεχόμενον τοῦ φ. 65β καὶ τὸ περιέλαβεν ἐν τῇ ἐκδόσει.

II. Κῶδιξ Hierosol. 276: τὸ τέλος τοῦ φ. 65β.

III. Κῶδιξ Hierosol. 276: τὸ τέλος τοῦ φ. 90β. Τυπικὸν δεῖγμα καταχωρήσεως ἐν τῷ κώδικι μέρους μόνον ἐκ τῆς ἀρχῆς τοῦ γράμματος.

Οὕτω τὸ κρισιμόγραφον σημείωμα ἀπέκτησε πλαστὸν τέλος, ἔκτοτε δὲ φέρεται ὡς γενόμενον κατὰ μῆνα Μάιον, παρουσίᾳ τοῦ Θερμοπυλῶν Μιχαὴλ κλπ.

ΧΡΟΝΟΛ.: Ἡ σύνοδος διὰ τὴν διευθέτησιν τῶν διαφορῶν μεταξὺ τοῦ Ἰωάννου Ἀποκαύκου καὶ τοῦ Κωνσταντίνου Δούκα τοποθετεῖται τόσον ὑπὸ τοῦ *Παρθενίου Πολάκη* (Ἀπόκαυκος, σελ. 94), ὅσον καὶ ὑπὸ τοῦ *D. M. Nicol* (The Despotate of Epiros, σελ. 72) περὶ τὸν Μάιον τοῦ 1221. Ἀντιθέτως ὁ *N. B. Τωμαδάκης* (Σύλλαβος, σελ. 394 σημ. 4, καὶ σελ. 395) θεωρεῖ ὅτι ἡ ἔρις «δὲν ἀπέχει πολὺ τοῦ ἔτους 1228 ὅτε ἐπῆλθεν ὁ συμβιβασμός». Εἰς τὰ διασωθέντα ὅμως κείμενα τοῦ Ἰωάννου Ἀποκαύκου αἱ σχετικαὶ μνεῖαι εἶναι συχνόταται καὶ παρέχουν ἀσφαλεῖς ἐνδείξεις βάσει τῶν ὁποίων ἡ ἀρχὴ τῆς διενέξεως εἶναι πάντως πολὺ προγενεστέρα τῆς συνόδου, ἥτις ἔλαβε χώραν μᾶλλον μεταξὺ Ἀπριλίου/Αὐγούστου τοῦ 1227 καὶ τοῦ ἔτους 1228. Διὰ τὴν τοιαύτην χρονολόγησιν συνηγοροῦν τὰ ἑξῆς στοιχεῖα:

α') Τὸ σχετικὸν κείμενον ἐν τῷ κώδικι Barocc. gr. 131 ἐπιγράφεται: *σημείωμα ἐπὶ τῇ μέσον τοῦ Ναυπάκτου καὶ δεσπότου καταλλαγῇ* (βλ. ἀνωτ. σελ. 165, στ. 1), ὡς δὲ ὑπέδειξεν ὁ *L. Stiernon*, REB 28 (1970), σελ. 306, ὁ τίτλος τοῦ *δεσπότου* ἤρχισεν ἀπονεμόμενος ὑπὸ τοῦ Θεοδώρου Δούκα μετὰ τὴν στέψιν του (Ἀπρίλιος / Αὔγουστος 1227, βλ. ἀνωτ. σελ. 272-279 τοῦ παρόντος τόμου), ἥτις ἐν προκειμένῳ ἀποτελεῖ terminus post quem.

β') Πλὴν τῆς ἐπικεφαλίδος, προσωνυμίαι ἁρμόζουσαι εἰς τὸν τίτλον τοῦ δεσπότου ἀπαντοῦν καὶ εἰς τὸ κείμενον τοῦ σημειώματος. Οὕτως ὁ Κωνσταντῖνος Δούκας ἀποκαλεῖται *ἐξουσιαστικὴ ὑψηλότης* (σελ. 165, στ. 16) καὶ *εὐτυχεστάτη ὑπεροχή* (σελ. 58, στ. 9). Εἰς τὰ προγενέστερα κείμενα τοιαῦται προσωνυμίαι προκειμένου περὶ τοῦ Κωνσταντίνου Δούκα δὲν ἀπαντοῦν.

γ') Ἐκ τῆς διατυπώσεως τοῦ σημειώματος εἶναι φανερὸν (βλ. ἀνωτ. σελ. 58, στ. 22-28), ὅτι ὅταν ἐγράφη, δὲν εἶχεν ἀκόμη ἐκδοθῆ τὸ ἐπικυρωτικὸν τῶν κτήσεων τῆς μητροπόλεως Ναυπάκτου χρυσόβουλλον (Μάιος, ἰνδικτ. α', ἔτους ͵ϛψλϛ'=1228, βλ. ἀνωτ. σελ. 35, ἀριθ. 166, ὅπου καὶ ἀναγραφὴ σχετικῆς βιβλιογραφίας). Ἄρα ἡ σύνοδος καὶ ἡ σύνταξις τοῦ σχετικοῦ κειμένου ἐγένοντο μετὰ τὴν στέψιν τοῦ Θεοδώρου Δούκα (Ἀπρίλιος / Αὔγουστος 1227) καὶ πρὸ τῆς ἐκδόσεως τοῦ χρυσοβούλλου (Μάιος 1228). Οὐδὲν δὲ πραγματικὸν στοιχεῖον ὑφίσταται περὶ συγκλήσεως ταύτης κατὰ μῆνα Μάιον, παρουσίᾳ τοῦ Θερμοπυλῶν Μιχαὴλ (βλ. ἀνωτ. σελ. 166, Διαφοραί). Πάντως αἱ σχέσεις τῶν δύο ἀνδρῶν ἐξαιρέσει μιᾶς μᾶλλον συντόμου περιόδου (περὶ τὸ 1222, βλ. κατωτ. Προσθήκας, σελ. 200, ἀριθ. 49) ἐξηκολούθησαν καὶ μετὰ ταῦτα νὰ εἶναι λίαν τεταμέναι, ὡς φαίνεται ἐκ τῶν ὑπ' ἀριθ. 77 καὶ 89 γραμμάτων τοῦ Ἀποκαύκου (βλ. ἀνωτ. σελ. 136-138, ἰδίως στ. 61-85 καὶ σελ. 143-144· πρβλ. καὶ κατωτ. Προσθήκας, ἀριθ. 77 καὶ 89).

ΒΙΒΛΙΟΓΡ.: *Πολάκης*, Ἀπόκαυκος, σελ. 93-95. — *D. M. Nicol*, The Despotate of Epiros, Oxford 1957, σελ. 54-57 καὶ σελ. 72, σημ. 22.

3

(άνωτ. σελ. 58–59, βλ. καὶ σελ. 13, 21)

ΧΦΦ.: P φ. 10β, κολοβόν.— V φφ. 62α–63β, πλῆρες.— H φφ. 60β–61α, πλῆρες, ἀλλ' ἀνεπίγραφον.

ΚΕΙΜΕΝΑ: Παραθέτομεν βάσει τῶν κωδίκων V καὶ H τὸ ἐκ τοῦ P ἐλλεῖπον τέλος. Οὕτω, εἰς τὴν ἀνωτέρω, σελ. 59, στ. 39, ἡμιτελῆ φράσιν (μετὰ τὴν λ. *ἐλογίζοντο,*) προστίθεται (μὲ τὴν αὐτὴν στιχαρίθμησιν) ἡ συνέχεια:

40 *ἑτέρωθι δὲ ἱκανοῦντες τῷ πρωτοκεντάρχῳ τὴν προῖκα τῆς αὐτοῦ θυγατρὸς — ὡμολόγει δὲ καὶ ὁ χρηματίσας τούτου γαμβρὸς τὰ κρείττονα ἐξ αὐτῆς μὴ ἔχειν ἀποδοῦναι τῷ πενθερῷ, ὡς ὑπὸ τούτου δαπανηθέντα — ὑπέθετο τῷ πρωτοκεντάρχῳ ἀπὸ τῶν προικῴων αὐτῶν, τό τε κατὰ τὸν Ἀετὸν χωρίον αὐτῶν, τὸ καλούμενον Ἀνιπτοχώριον καὶ τὴν ἐν τῷ χωρίῳ τῶν Ὁστύλων* V φ. 6 H φ. 6

45 *μερίδα, ὡς ἐξ αὐτῆς ἀπολήψηται τὰ λείποντα τῆς προικός. συνῄνει δὲ ἐπὶ τούτου καὶ ὁ πανσέβαστος κῦρ Ἰσαάκιος ὁ Ταρωνᾶς, ὁ καὶ γαμβρὸς μὲν αὐτῶν γεγονώς, εἰς πρόνοιαν δὲ τῷ τέως κατέχων. Ταῦτα δὴ ταῦτα, τὰ παρὰ τῶν Πυῤῥῶν ἐνεχυραζόμενα. καὶ κατεδέξατο καὶ ὁ πρωτοκένταρχος τὴν ἐπὶ τῇ μητροπόλει οἰκονομίαν, ὡς ἀντιλαβὼν τὰ δηλούμενα κτήματα, ἀλλὰ δι' ἐγ-*

50 *γράφου ἀγοραίου, οἰκείου καὶ τῆς αὐτοῦ πανοικίας, πιστώσασθαι κατέθετο τὴν καταδοχήν, ὡς μὴ μόνον ἔχει τὸ μέρος τῆς ἐκκλησίας ταύτην ψιλὴν καὶ ἐς ὕστερον, ἀλλὰ καὶ τῷ ἐγγράφῳ προσβοηθῆται, εἰς ἀποτροπὴν αὐτοῦ καὶ παντὸς τοῦ μέρους αὐτοῦ, πειραθησομένων ἴσως ἐς ὕστερον τινῶν ἐξ αὐτῶν — ὁποῖα πολλὰ ἡ τοῦ βίου φέρει μεταβολὴ καὶ τὸ τῶν ἀνθρώπων παλίγγνω-*

55 *μον — ἐπηρεάσαι ποτὲ τῷ μέρει τῆς ἐκκλησίας, ἕνεκεν τῆς τῶν εἰρημένων ἀκινήτων μεταβιβάσεως πρὸς αὐτήν, καὶ τῆς ἐντεῦθεν δεσποτείας αὐτῆς καὶ κατοχῆς καὶ νομῆς.*

Στ. 40. *ἑτέρωθι* V: *ἑτέρωθεν* H || 41 *ὡμολόγει* H: *ὁμολόγει* V || *δὲ* V: *γε* H || *καὶ* V: παραλείπει H || 44 μεταξὺ τῶν λ. *καλούμενον* καὶ *Ἀνιπτοχώριον* ἐν H ⟨*ἀνιπτόλοιπον τὰ τῆς προικὸς*⟩ διαγεγραμμένα || 45 *λείποντα τῆς* V: *λοιπὰ τὰ τῆς* H || 46 *τούτου* V: *τούτῳ*, ἐκ διορθώσεως, H || 46 *ὁ καὶ* V: *καὶ ὁ* H || 48 *ἐνεχυραζόμενα* H: *ἐνεχειριζόμενα* V || 51 *μόνον* V: *μόνος* H || 52 *καὶ τῷ* V: *τε τῷ* H || 54–55 *παλίγγνωμον* H: *πολύγνωμον* V || 55 *ἐπηρεάσαι ποτὲ* H: *ἐπηρεάσαί ποτε* V.

ΔΙΑΦΟΡΑΙ τῶν κωδίκων V καὶ H ὡς πρὸς τὸν P, καθὼς καί τινα ἐν τῇ ἐκδόσει διορθωτέα. Ἡ στιχαρίθμησις ἀναφέρεται εἰς τὸ κείμενον ὑπ' ἀριθ. 3, ἀνωτ. σελ. 58–59.

Στ. 1 *Σημείωμα* P: *τοῦ αὐτοῦ σημείωμα* V: ἀνεπίγραφον, φέρον ἀρχικῶς τὸν λανθασμένον τίτλον ⟨*διαζύγιον*⟩, ὅστις καὶ διεγράφη H || 5 *προικῷα*: διορθωτέον *μητρῷα* PVH || 6 *ἔοικεν* P: διορθ. *ἔοικεν* V H || *φυλακίτῃ*: διορθ. *φύλακί τε* PVH || 9 *Ἄννα*: *Ἄνναν* PVH || 13–14 *τῷ ἀνδρὶ* μέχρι τῆς λ. *νομίμως* P: τὸ κείμενον συγκεχυμένον ἐν H *τῷ ἀνδρὶ τῷ μεγαλοδοξοτάτῳ κῦρ Ἀλεξίῳ τῷ Πυρρῷ, λέγει (?), τοῖς μὲν γεννήτορσι πένθος ἐγκατέλιπεν. οὐ-*

τω δὴ προηγμένου τοῦ πένθους, καὶ ὁ προικοδοτήσας πατὴρ εἰσῆλθε, νομίμως || 13 *πένθους*: *πένθο[υς]* P: *πένθος* V || 20 *κῦρ: κυρῷ* VH || 22 *δεσπότιν* PH: *δεσπότην* V || 22 *ἀπεντεῦθεν* PV: *ἀπ' ἐντεῦθεν* H || 26 *Πυῤῥῶν*: παραλείπει H, ὑπάρχοντος κενοῦ περίπου ἰσαρίθμων γραμμάτων || 27 *τῇ ἐκκλησίᾳ κατέλιπε*: παραλείπει H || 27 *παρ' αὐτοὺς: παραυτὰ* PH: *παρ' αὐτὰ* V || 28 *ἐδυσχαίρενε*: διορθωτέον *ἐδυσχέρα(ι)νε* PVH || 30 *ἐνεχυρασθέντα* P H: *ἐνεχειρηθέντα* V || *προικῴων*: *προικόων* V || 31 *μεταξὺ*: *μέσον* PVH || 32 *καταλειφθῆναι;* γράφε *καταλειφθῆναι* || 33 *τὴν*: παραλείπει H || 34 *ἀπόδειξιν*: *ἀπόδοσιν* H || 35 *παρεδέχθη*: *παρεδόθη* H || *συμπάντων*: *σὺν πάντων* H || 37-38 *ὡς* μέχρι καὶ τῆς λ. *ἀδελφῆς* PV: παραλείπει H || 38 *ἀναλῦσαι*: *ἀναλύσαι* V.

Σημειωσις: Εἰς τὸ *σημείωμα* ἀναφέρεται ὀνομαστὶ *ὁ πανσέβαστος πρωτοκένταρχος κῦρ Ἰωάννης ὁ Κασταμονίτης* (σελ. 58, στ. 7-8), πλὴν ἄνευ χρονολογικῆς τινος ἐνδείξεως. Εἰς ἕτερον ὅμως γράμμα τοῦ Ἀποκαύκου ἀναγράφεται: *μηνὶ μαρτίῳ κθ' ἡμέρᾳ ς' ἰν[δικτιῶνος* ἕπεται κενὸς χῶρος διὰ τὰ στοιχεῖα τὰ σημαίνοντα τὴν ἰνδικτιῶνα, ἅτινα δὲν ἐγράφησαν] *ἐπὶ παρουσίᾳ τοῦ ἐπισκόπου Ἀχελῴου· τοῦ Ἄρτης· τοῦ πρωτοκεντάρχου, καὶ ἑτέρων οὐκ ὀλίγων.* (Βλ. Περιγραφὴν τοῦ Petrop. graec. CCL, ἀνωτ. σελ. 23, ἀριθ. 91. Τὸ γράμμα ἐξεδόθη ὑπὸ τοῦ *Κεραμέως,* Ἀνάλ. Ἱεροσ. Σταχ. Δ', σελ. 124-125 βάσει τοῦ Hieros. 276, ἄνευ τῶν χρονολογικῶν ἐνδείξεων). Τὸ δεύτερον τοῦτο σημείωμα ἐγράφη ἐπὶ Θεοδώρου τοῦ Δούκα καὶ πρὸ τῆς χρίσεως αὐτοῦ εἰς βασιλέα (1227). Ὡς ἐκ τούτου ἡ ἐλλείπουσα ἰνδικτιὼν εἶναι ἢ ἡ ζ' [=1219] ἢ ἡ ιβ' [=1224], διότι κατὰ τὰ ἔτη αὐτὰ συνέπιπτε ἡμέρα Παρασκευὴ ἡ 29η Μαρτίου. Οὕτω προσδιορίζεται περίπου ἡ ἐποχὴ καθ' ἣν ἔδρασε ὁ ἐν λόγῳ πρωτοκένταρχος.

4 καὶ 23

(ἀνωτ. σελ. 59-60 καὶ 83, βλ. καὶ σελ. 13 καὶ 35, ἀριθ. 22 καὶ 169)

ΧΦΦ.: P φ. 11α, ἀκέφαλον, λόγῳ παρατοποθετήσεως τοῦ προηγουμένου φύλλου τοῦ περιλαμβάνοντος τὴν ἀρχήν, σταχωθέντος διττῶς ἐσφαλμένως, ὡς φ. 68 καὶ ὡς recto ἀντὶ verso (πρβλ. ἀνωτ., σελ. 35, σημ. 1).—V φφ. 60α-61α. Ἡ ταύτισις τῶν κειμένων 4 (φ. 11α) καὶ 23 (φ. 68α) ἐπιβεβαιοῦται καὶ ἐκ τοῦ V, ὅστις διασῴζει ἑνιαῖον τὸ πλῆρες κείμενον.

ΕΚΔ.: *Κεραμεύς*, «Ἐκκλ. Φάρος», Δ' (1909), σελ. 65-67, κατὰ τὸν P, ἀλλ' ὡς ἀκέφαλον.

Διαφοραι μεταξὺ τῶν κωδίκων P καὶ V ὡς καὶ τῶν ἐκδόσεων πρὸς τοὺς κώδικας. Ἡ στιχαρίθμησις ἀναφέρεται εἰς τὰ κείμενα ὑπ' ἀριθ. 4 καὶ 23 τῆς ἐκδόσεως ὑπὸ τοῦ *Ν. Βέη*. K=ἔκδοσις ὑπὸ *Κεραμέως*.

Σελ. 59, στ. 3 *ἐπί τε*: διορθωτέον *ἐπί τε τῷ* PV || σελ. 60, στ. 13 *αὐτοῦ*: διορθ. *αὑτοῦ* || 17-18 *φροντίσασα* P: *φροντήσασα* V || 20 *ταύτης*: *ταύτῃ* PV || 31 *τῆς* P: *τοῖς* V || 34-35 *τοῦ* μέχρι καὶ τῆς λ. *σήμερον*: παραλείπει K || 35 *τοῦ*: *τῆς* P || 36 *προκατοχὴν*: *πρὸ κατοχὴν* V || 37 *αὐτοκινήτων*: διορθωτέον *ἀκινήτων* PV || 40 *ἀκούσει* P: διορθ. *ἀκούσῃ* ὡς καὶ ἐν K || *σήμερον* P: *μόνος* (?) K || *φάκτον* P: *φευκτὸν* K || *καὶ* P: παραλείπει K || 41-42 *τὴν* μέχρι καὶ τῆς λ. *σημειώματι:* παραλείπει K || 44 *ἐπίσης ἐκ*: *ἐπίσης τοῖς ἐκ* PV || σελ. 83, ἀριθ 23, στ. 3 *ἠγνόη[σαν?]*: *ἤγνοη* P: *ἠγνοηκότες* V.

ΧΡΟΝΟΛ.: Ἐπὶ τῆς αὐτῆς ὑποθέσεως ὑπάρχει γνωμοδότησις τοῦ μητροπολίτου Κερκύρας Γεωργίου Βαρδάνη (βλ. κατωτ. βιβλιογραφίαν). Ἐκ τούτου συνάγεται, ὅτι τὸ ἐν λόγῳ σημείωμα τοῦ Ἰωάννου Ἀποκαύκου ἐγράφη πάντως μετὰ τὸν Δεκέμβριον τοῦ 1219 (χρονολογία προχειρίσεως τοῦ Βαρδάνη εἰς μητροπολίτην Κερκύρας), διότι, ὡς εἶναι φυσικόν, ὁ Θεόδωρος Διαβατηνὸς θὰ κατέφυγε τελευταῖον εἰς τὸν μητροπολίτην Ναυπάκτου, ἀνωτάτην τότε ἐκκλησιαστικὴν ἀρχὴν τοῦ λεγομένου Δεσποτάτου τῆς Ἠπείρου.

ΒΙΒΛΙΟΓΡ.: Ἐπὶ τῆς αὐτῆς κληρονομικῆς ὑποθέσεως τοῦ Θεοδώρου Διαβατηνοῦ, βλ. γνωμοδότησιν Γεωργίου Βαρδάνη, ἔκδ. *Κεραμεύς*, Κερκυραϊκά, σελ. 342 (ἀκέφαλον κατὰ τὸν P)· – *τοῦ αὐτοῦ*, «Ἐκκλ. Φάρος», ἔνθ' ἀνωτ., σελ. 63–65 (πλῆρες κατὰ τοὺς P καὶ H)·—πρβλ. καὶ *Ν. Α. Βέη*, Περιγραφὴ τοῦ κώδικος Ἰσαὰκ τοῦ Μεσοποταμίτου..., ἀνωτ. σελ. 25, ἀριθ. 102.

5

(ἀνωτ. σελ. 60-62, βλ. καὶ σελ. 15, 35)

ΧΦΦ.: P φφ. 15α–15β.— V φφ. 68β–69α (ἀρχ. ἀπό: *γηραιός τις*, βλ. κατωτ.).— H φφ. 66α–67α.

ΔΙΑΦΟΡΑΙ τῆς ἐκδόσεως καὶ τῶν κωδίκων V καὶ H ὡς πρὸς τὸν P.

